ἀνιαθῆναι μετ' ὀλίγον ψιλὴν τὴν μάζαν ἐσθίων, οἷα ὑμεῖς πείσε-
σθε μετ' ὀλίγον, ἐπειδὰν ἡ εὐδαιμονία μὲν ὑμῖν, καὶ ὁ πολὺς πλοῦ-
τος οἴχηται ἀποπτάμενος· αὐτοὶ δὲ καταβάντες ἀπὸ τῶν θη-
σαυρῶν τε καὶ διαδημάτων, ὥσπερ ἐξ ἡδίστου ὀνείρατος ἀνεγρό-
μενοι, ἀνόμοια τὰ ἐπὶ τῆς οἰκίας εὑρίσκετε· ὥσπερ οἱ τοὺς βα- 4
σιλεῖς ὑποκρινόμενοι τραγῳδοί, ἐξελθόντες ἀπὸ τοῦ θεάτρου, λι-
μώττοντες οἱ πολλοί, καὶ ταῦτα πρὸ ὀλίγου Ἀγαμέμνονες ὄντες
ἢ Κρέοντες. Λυπήσεσθε οὖν, ὡς τὸ εἰκὸς, καὶ δυσάρεστοι ἔ- 5
σεσθε τὰ ἐπὶ τῆς οἰκίας, καὶ μάλιστα σὺ, ὦ Τιμόλαε, ὁπόταν δέῃ
σε τὸ αὐτὸ παθεῖν τῷ Ἰκάρῳ τῆς πτερώσεως διαλυθείσης, κα-
ταπεσόντα ἐκ τοῦ οὐρανοῦ χαμαὶ βαδίζειν, ἀπολέσαντα τοὺς δα-
κτυλίους ἐκείνους ἅπαντας ἀποῤῥυέντας τῶν δακτύλων. Ἐμοὶ δὲ 6
καὶ τοῦτο ἱκανὸν, ἀντὶ πάντων θησαυρῶν, καὶ Βαβυλῶνος αὐτῆς,
τὸ γελάσαι μάλα ἡδέως ἐφ' οἷς ὑμεῖς ᾐτήσατε, τοιούτοις οὖσι, καὶ
ταῦτα φιλοσοφίαν ἐπαινοῦντες.

## Η'. ΝΙΓΡΙΝΟΣ Η ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΗΘΟΥΣ. (*)

### Ἑταῖρος, Λουκιανός.

ά. Ἑταῖρ. Ὡς σεμνὸς ἡμῖν σφόδρα, καὶ μετέωρος ἐπανελή-
λυθας; Οὐ τοίνυν προσβλέπειν ἡμᾶς ἔτι ἀξιοῖς, οὔθ' ὁμιλίας με-
ταδίδως, οὔτε κοινωνεῖς τῶν ὁμοίων λόγων, ἀλλ' ἄφνω μεταβέ-
βλησαι, καὶ ὅλως ὑπεροπτικῷ τινι ἔοικας; ἡδέως δ' ἂν παρὰ σοῦ 2
πυθοίμην, ὅθεν οὕτως ἀτόπως ἔχεις, καὶ τί τούτων αἴτιον; — Λουκ.
Τί γὰρ ἄλλο γε, ὦ ἑταῖρε, ἢ εὐτυχία; — Ἑταῖρ. Πῶς λέγεις; —

---

4. Καὶ ταῦτα) Πάσχουσιν, ὄντες πρὸ ὀλίγου Ἀγαμέμνονες ἢ Κρέοντες.

5. τῷ Ἰκάρῳ) Δαίδαλος γὰρ ἐν Λαβυρίνθῳ, ὃν αὐτὸς κατεσκεύασε, μετὰ τοῦ υἱοῦ Ἰκάρου παρὰ Μίνωος τοῦ βασιλεύοντος Κρήτης εἰρχθεὶς, πτέρυγας ἑαυτῷ τε καὶ τῷ υἱῷ ἐπήξατο, κηρῷ κολλάψας. Ἴκαρος δὲ, ἅτε παῖς, ὑπὲρ τὸ δέον ὑψωθεὶς, τοῦ κηροῦ τακέντος, ἔπεσεν εἰς τὴν θάλασσαν τὴν παρ' αὐτοῦ καλουμένην Ἰκαρίαν.

6. Καὶ ταῦτα) Αἰτεῖτε.

(*) Νιγρῖνος ἐπιγέγραπται ὁ διάλογος οὗτος, ὅτι Νιγρῖνόν τινα Ῥωμαῖον φιλόσοφον Πλατωνικὸν ὑποτίθησι τὰς ἐν αὐτῷ καλὰς ὑποθήκας λέγοντα, ἀπὸ τῆς Ἑλλάδος ἐπιστρέψαντα εἰς Ῥώμην· πρὸς ὃν καὶ ἐπιστολὴν ἔγραφε, πέμψας τὸν λόγον τοῦτον. Περὶ δὲ φιλοσόφου ἤθους· ἐπειδὴ περὶ ἠθῶν ὑποτίθησιν ἀληθῶς φιλοσόφου ἀνδρὸς ἰδίων, ὡς οὐκ ἄντις ἄλλος. Ταῦτά τοι καὶ ἕκαστος οὐ μόνον τῶν τῷ φιλόσοφος ὀνόματι σεμνύνεσθαι ἐφιεμένων, ἀλλὰ καὶ τῶν τῷ ἄνθρωπος καλεῖσθαι, μὴ αἰσχυνομένους τῷ ὀνόματι, τὰς ὑποθήκας ταύτας ἐν βάθει καρδίας ἐγγράψαι ὀφείλουσιν.

ά. Ὡς σεμνὸς) Τὸ Ὡς θαυμαστικὸν μετ' ἐπιτάσεως.

— Τῶν ὁμοίων λόγων) Ὁμοίους λόγους ἐνταῦθα λέγει τοὺς ὁμοίας ἐλευθερίας καὶ καταστάσεως πανταχόσε ἐχομένους.

— Ὑπεροπτικῷ) Σύνηθες τοῖς Ἕλλησι τὰ ἀπευκταῖα διὰ τοῦ Ἔοικα κολάζειν· ἀντὶ γὰρ τοῦ εἰπεῖν Ὑπεροπτικὸς εἶ, φησὶν, ὑπεροπτικῷ τινι ἔοικας.

2. Ἡδέως δ' ἂν . . . πυθοίμην) Καὶ τοῦτο τρόπος τοῦ λέγειν· παρ' ἡμῖν δὲ τὸ τοιοῦτον ἐκφράζεται· παρακαλῶ, εἰπέ μοι, ὅθεν καὶ τλ.

— Καὶ τί) Ἐλλείπει, ἐστί.

— Τί γὰρ ἄλλο) Καὶ τί ἄλλο ἐστὶ τὸ αἴτιον, ὦ ἑταῖρε, ἢ εὐτυχία· ἔνθα ὁ Γὰρ ἑτοιμότητά τινα δηλοῖ, περιττὸς κείμενος ἄλλως.

Ε.Σ.Δ.Τ.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

3 Λουκ. Ὁδοῦ πάρεργον ἥκω σοι εὐδαίμων τε καὶ μακάριος γεγε-
νημένος, καὶ τοῦτο δὴ τὸ ἀπὸ τῆς σκηνῆς ὄνομα, τρισόλβιος. —
Ἑταῖρ. Ἡράκλεις, οὕτως ἐν βραχεῖ; — Λουκ. Καὶ μάλα. —
4 Ἑταῖρ. Τί δὲ τὸ μέγα τοῦτό ἐστιν, ἐφ' ὅτῳ καὶ κομᾷς, ἵνα μὴ
ἐν κεφαλαίῳ μόνῳ εὐφραινώμεθα, ἔχωμεν δέ τι καὶ ἀκριβῶς εἰδέναι
5 τὸ πᾶν ἀκούσαντες; — Λουκ. Οὐ θαυμαστὸν εἶναί σοι δοκεῖ
πρὸς Διός, ἀντὶ μὲν δούλου με ἐλεύθερον, ἀντὶ δὲ πένητος ὡς ἀ-
ληθῶς πλούσιον, ἀντὶ δὲ ἀνοήτου τε καὶ τετυφωμένου γενέσθαι
μετριώτερον;

β'. Ἑταῖρ. Μέγιστον μὲν οὖν· ἀτὰρ οὔπω μανθάνω σαφῶς
2 ὅ,τι καὶ λέγεις. — Λουκ. Ἐστάλην μὲν εὐθὺ τῆς πόλεως βου-
λόμενος ἰατρὸν ὀφθαλμῶν θεάσασθαί τινα· τὸ γάρ μοι πάθος
τὸ ἐν τῷ ὀφθαλμῷ μᾶλλον ἐπετείνετο. — Ἑταῖρ. Οἶδα τού-
3 των ἕκαστα, καὶ ηὐξάμην σέ τινι σπουδαίῳ ἐπιτυχεῖν. — Λουκ.
Δόξαν οὖν μοι διὰ πολλοῦ προσειπεῖν Νιγρῖνον τὸν Πλατωνι-
κὸν φιλόσοφον, ἕωθεν ἐξαναστὰς ὡς αὐτὸν ἀφικόμην, καὶ κόψας
τὴν θύραν, τοῦ παιδὸς εἰσαγγείλαντος, ἐκλήθην· καὶ πα-
ρελθὼν εἴσω, καταλαμβάνω τὸν μὲν ἐν χερσὶ βιβλίον ἔχοντα,
4 πολλὰς δ' εἰκόνας παλαιῶν σοφῶν ἐν κύκλῳ κειμένας. Προὔ-
κειτο δὲ ἐν μέσῳ καὶ πινάκιόν τι τῶν ἀπὸ γεωμετρίας σχη-
μάτων καταγεγραμμένον, καὶ σφαῖρα καλάμου πρὸς τὸ τοῦ
παντὸς μίμημα, ὡς ἐδόκει, πεποιημένη.

---

3. Ὁδοῦ πάοεργον) Κατὰ πάρεργον ὁδοῦ· καθ' ὅσα δηλ. ἐν τῇ ὁδῷ συμβαίνει πάρεργα· βαδίζουσι γὰρ πολλάκις ἐν τῇ ὁδῷ συμβαίνει τινά.

— Ἥκω σοι) Ἡ δοτικὴ αὕτη, ἄλλως ἀνέκφραστος, πολλὴν Ἀφροδίτην ἐμποιεῖ τῷ Ἕλληνι λόγῳ.

— Ἀπὸ τῆς σκηνῆς) Σκηνὴν ἐνταῦθα τὸ θέατρον λέγει ἀπὸ τοῦ τόπου ἔνθα οἱ ὑποκριταὶ τὰ δράματα ὑποκρίνονται.

— Τρισόλβιος) Παρὰ Σοφοκλέους δοκεῖ τοῦτο εἰλῆφθαι, ἐξ ὧν Πλούταρχος ἐν τῷ Πῶς δεῖ ποιημάτων ἀκούειν λέγει.

. . . ὣ τρισόλβιοι
Κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη.
Μολῶσ' ἐς ᾅδου· τοῖς δε γὰρ μόνοις ἐκεῖ.
Ζῆν ἐστὶ, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

4. Κομᾷς) Σχολιαστ. Ἀριστοφ. ἐν Ἱππεῦσι στίχ. 577. φησὶ τὸ κομᾷν καὶ ἐπὶ τοῦ τρυφᾷν λέγεται, καὶ γαυριοῦσθαι, καὶ μέγα φρονεῖν· ἄλλως γὰρ τὸ κόμην ἔχειν δηλοῖ.

— Ἐν κεφαλαίῳ) Εὐφραίνεσθαι ἐν κεφαλαίῳ μόνῳ λέγονται, οἱ, πράγματος οὔπω διαγνωσθέντος, ἐπὶ μόνῳ τῷ ἀνειμένῳ καὶ ἱλαρῷ προσώπῳ τῶν φίλων εὐφραινόμενοι.

5. Καὶ τετυφωμένου) Τετυφωμένος ὁ ἐπηρμένος καὶ ἀλαζὼν, καὶ ἐμβεβροντημένος, καὶ ἔξω φρενῶν.

β'. Μέγιστ.) Πάντως θαυμαστὸν καὶ μέγιστον ἐστὶ τοῦτο, ὃ λέγεις. — Οὔπω μανθ.) Οὐ πληροφοροῦμαι δηλ. τί ἐστι τοῦτο ὃ λέγεις.

2. Ἐπιτυχ.) Τὸ μὲν Ἐντυγχάνω τὸ πορευόμενος τυγχάνω δηλοῖ· τὸ δὲ Ἐπιτυγχάνω τὸ ζητῶν τυγχάνω τοῦ προσήκοντος.

3. Διὰ πολ.) Δόξαν οὖν μοι προσειπεῖν Νιγρῖνον, διὰ πολλοῦ χρόνου μὴ ἰδόντι αὐτόν· τὸ δὲ Δόξαν ἀπόλυτος μετοχὴ κατὰ τὰς ἀπροσώπους.

— Ὡς αὐτ.) Τὸ Ὡς ἀντὶ Πρός.

— Εἰσαγγειλ.) Εἰπόντος δηλ. ὅς τις εἴην.

— Τὸν μὲν) Νιγρῖνον.

4. Καὶ σφαῖρα καλ.) Ἐννοεῖται ἀπὸ κεινοῦ τὸ, προὔκειτο· δοκεῖ δὲ κρικωτὴν

ΙΩΑΝΝΙΝΑ 2006

γ'. Σφόδρα οὖν με φιλοφρόνως ἀσπασάμενος, ἠρώτα, ὅ,τι
καὶ πράττοιμι. Κἀγὼ πάντα διηγησάμην αὐτῷ· καὶ δῆτα ἐν 2
μέρει καὶ αὐτὸς ἠξίουν εἰδέναι, ὅ,τι τε πράττοι, καὶ εἰ αὖθις
αὐτῷ ἐγνωσμένον εἴη στέλλεσθαι τὴν ἐπὶ τῆς Ἑλλάδος. Ὁ δὲ 3
ἀπαρξάμενος, ὦ ἑταῖρε, περὶ τούτων λέγειν, καὶ τὴν ἑαυτοῦ
γνώμην διηγεῖσθαι, τοσαύτην τινά μου λόγων ἀμβροσίαν κατεσκέδασεν, ὥστε καὶ τὰς Σειρῆνας ἐκείνας, εἴ τινες ἄρα ἐγένοντο, καὶ τὰς ἀηδόνας, καὶ τὸν Ὁμήρου λωτὸν ἀρχαῖον ἀποδεῖξαι· οὕτω θεσπέσια ἐφθέγξατο.

δ'. Προήχθη γὰρ αὐτήν τε φιλοσοφίαν ἐπαινέσαι, καὶ τὴν
ἀπὸ ταύτης ἐλευθερίαν, καὶ τῶν δημοσίᾳ νομιζομένων ἀγαθῶν
καταγελάσαι, πλούτου, καὶ δόξης, καὶ βασιλείας, καὶ τιμῆς,
ἔτι τε χρυσοῦ, καὶ πορφύρας, καὶ τῶν πάνυ περιβλέπτων τοῖς
πολλοῖς, τέως δὲ κἀμοὶ δοκούντων. Ἅπερ ἔγωγε ἀτενεῖ καὶ 2

---

εἶναι τὴν σφαῖραν ταύτην· τοὺς ἐννοουμένους κύκλους ἐκ καλάμου ἔχουσα· διὰ ταύτης γὰρ οἵ τε Μεσημβρινοὶ διὰ τῶν πόλων τοῦ παντὸς διακρίνονται, καὶ ὁ Ζωδιακὸς λοξὸς ὤν, ὅ,τε Ἰσημερινὸς καὶ καὶ οἱ Τροπικοί, πρὸς δέ, καὶ οἱ Πολικοὶ καλούμενοι κύκλοι· ἔχει τε καὶ τὸν ἀπὸ τῶν πόλων διὰ τοῦ τῆς γῆς κέντρου διερχόμενον Ἄξονα· ἅπερ πάντα πρὸς μίμημα τοῦ παντὸς γίνεται.

γ'. Ὅ,τι καὶ πράτ.) Τοῦτό ἐστι τὸ παρ' ἡμῖν πῶς εὑρίσκομαι εἰς τὴν ὑγείαν. Οὐ μὴν ἀλλὰ καὶ ὁμοίως τοῖς Ἕλλησι παρ' ἡμῖν λέγεται τὸ τοιοῦτον· λέγουσι γὰρ μετὰ τὸν ἀσπασμόν· Τί κάμνεις.

2. Πάντα) Τὰ περὶ τῆς ὑγιείας μου δηλ.

— Καὶ δῆτα) Πρὸς τούτοις δέ.

— Αὐτῷ ἐγνωσμ.) Ἀντὶ καὶ εἰ πάλιν ἔχει κατὰ νοῦν ἵνα ὑπάγῃ εἰς τὴν Ἑλλάδα.

— Στέλλεσθαι τὴν ἐπὶ) Ἤτοι στέλλειν ἑαυτόν, ἤγουν ὑπάγειν· τὸ δὲ τήν, Ἔλλειψιν ἔχει· οἷον· τὴν Ὁδὸν τὴν ἄγουσαν ἐπὶ τῆς Ἑλ. ἄλλως γὰρ παρέλκει.

3. Ὁ δὲ) Νιγρῖνος.

— Ἀπαρξάμ.) Ἡ Ἀπὸ ἐνταῦθα, ἤτοι παρέλκει, ἢ δηλοῖ τὸ μετὰ ταῦτα· οἷον· ὁ δὲ Νιγρῖνος, μετὰ τὴν ἐρώτησιν ἀρξάμενος λέγειν.

— Περὶ τούτων) Τῶν πραγμάτων ἐφ' οἷς με ἔλεγες κομᾷν.

— Λόγων ἀμβρ.) Ἡδονὴν δηλ. μεταφορικῶς ἀπὸ τῆς Ἀμβροσίας τῶν Θεῶν βρώματος.

— Σειρῆνας ἐκείν.) Φασὶ γὰρ ταύτας ἐν τῇ περὶ Σικελίαν θαλάττῃ οἰκεῖν μέχρι μὲν ζώνης παρθένους, τὸ δὲ λοιπὸν ἰχθῦς οὔσας· καὶ τῇ τῆς ᾠδῆς γλυκύτητι ἕλκειν πρὸς ἑαυτὰς τοὺς διαβαίνοντας, καὶ κατεσθίειν. Ὁμηρ. Ὀδυσ. Μ. στίχ. 39.

— Ἀηδόν.) Τίνων Ἀηδόνων ἐνταῦθα μέμνηται, οὐκ ἔχω λέγειν· εἰμή τι ἁπλῶς περὶ ἀηδόνων λέγει καὶ ἡδυφώνων οὐσῶν, καὶ οὐκ ἐκ μυθολογίας ἔχων.

— Λωτὸν) Περὶ οὗ Ὁμηρ. Ὀδύσ. Ι. στίχ. 94.

. . . Ὅς τις λώτοιο φάγοι μελιηδέα
καρπόν.
Οὐκ ἔτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν, οὐδὲ νέεσθαι.
Ἀλλ' αὐτοῦ βούλοιτο μετ' ἀνδράσι
Λωτοφάγοισι.
Λωτὸν ἐρεπτόμενος μενέμεν, νόστου
τε λαθέσθαι.

— Ἀρχαῖον) Παλαιὸν δηλ. καὶ μωρόν· πᾶν γὰρ διὰ τὴν παλαιότητα μηδενὸς λόγου ἄξιον ἀρχαῖον καλεῖται. Ὅθεν καὶ Πλάτων Ἐπιστολ. Δ'. φησίν. »Ὡς νοῦν ὑπὸ πάντων ὁρώμενος παρασκεύαζου, τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον »ἀποδείξων, καὶ τὸν Κῦρον, καὶ εἴ τις »ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ »διενεγκεῖν.«

δ'. Φιλοσοφ.) Πλάτων ἐν Ἐπιστ. πρὸς Ἀριστόδ. φησί. »Τὸ βέβαιον καὶ πιστὸν »καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι τὴν »ἀληθινὴν φιλοσοφίαν.«

— Πλοῦτ.) Ταῦτα ἐπεξήγησίς εἰσι τῶν νομιζομένων ἀγαθῶν.

— Τέως δὲ) Καὶ μέχρι τότε καὶ ἐμοὶ δοκούντων περιβλέπτων εἶναι.

2. Ἅπερ) Ὅσα δηλ. ἐκεῖνος ἔλεγε.

— Ὅπερ ἐπιπ.) Τίνα δηλ. ἐκεῖνο,

Ε.Χ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναπεπταμένῃ τῇ ψυχῇ δεξάμενος, αὐτίκα μὲν οὐδὲ εἶχον εἰ-
3 κάσαι ὅπερ ἐπεπόνθειν, ἀλλὰ παντοῖος ἐγιγνόμην· καὶ ἄρτι
μὲν ἐλυπούμην, ἐληλεγμένων μοι τῶν φιλτάτων, πλούτου τε, καὶ
ἀργυρίου, καὶ δόξης· καὶ μόνον οὐκ ἐδάκρυον ἐπ᾽ αὐτοῖς κα-
θῃρημένοις· ἄρτι δὲ αὐτὰ μὲν ἐδόκει μοι ταπεινὰ καὶ καταγέ-
λαστα· ἔχαιρον δ᾽ αὖ, ὥσπερ ἐκ ζοφεροῦ τινος ἀέρος τοῦ βίου
4 τοῦ πρόσθεν, ἐς αἰθρίαν τε καὶ μέγα φῶς ἀναβλέπων· ὥστε δή,
(τὸ καινότατον) τοῦ ὀφθαλμοῦ μέν, καὶ τῆς περὶ αὐτὸν ἀσθε-
νείας ἐπελανθανόμην· τὴν δὲ ψυχὴν ὀξυδερκέστερος κατὰ μι-
κρὸν ἐγιγνόμην. Ἐλελήθειν γὰρ τέως αὐτὴν τυφλώττουσαν πε-
ριφέρων.

έ. Προϊὼν δὲ ἐς τόδε περιήχθην, ὅπερ ἀρτίως ἡμῖν ἐπεκά-
λεις. Γαῦρός τε γὰρ ὑπὸ τοῦ λόγου καὶ μετέωρός εἰμι, καὶ ὅ-
2 λως μικρὸν οὐκέτι οὐδὲν ἐπινοῶ. Δοκῶ γάρ μοι ὅμοιόν τι πε-
πονθέναι πρὸς φιλοσοφίαν, οἷόν περ καὶ οἱ Ἰνδοὶ πρὸς τὸν οἶνον
λέγονται παθεῖν, ὅτε πρῶτον ἔπιον αὐτοῦ. Θερμότεροι γὰρ ὄν-
τες φύσει, πιόντες ἰσχυρὸν οὕτω ποτόν, αὐτίκα μάλα ἐξεβα-
3 κχεύθησαν, καὶ διπλασίως ὑπὸ τοῦ ἀκράτου ἐξεμάνησαν. Οὕτω
σοι καὶ αὐτὸς ἔνθεος, καὶ μεθύων ὑπὸ τῶν λόγων περιέρχομαι.

ς'. Ἑταῖρ. Καὶ μὴν τοῦτόγε, οὐ μεθύειν, ἀλλὰ νήφειν τε καὶ
2 σωφρονεῖν ἐστιν. Ἐγὼ δὲ βουλοίμην ἄν, εἰ οἷόν τε, αὐτῶν ἀ-
κοῦσαι τῶν λόγων· οὐδὲ γὰρ οὐδὲ καταφρονεῖν αὐτῶν οἶμαι
θέμις, ἄλλως τε εἰ καὶ φίλος, καὶ περὶ τὰ ὅμοια ἐσπουδακὼς ὁ
3 βουλόμενος ἀκούειν εἴη. — Λουκ. Θάῤῥει, ὦ 'γαθέ. Τοῦτο γάρ
τοι τὸ τοῦ Ὁμήρου, σπεύδοντα καὶ αὐτὸν παρακαλεῖς. Καὶ εἴ-
γε μὴ ἔφθης, αὐτὸς ἂν ἐδεήθην ἀκοῦσαί μου διηγουμένου.
Μάρτυρα γάρ σε παραστήσασθαι πρὸς τοὺς πολλοὺς ἐθέλω, ὅ-
4 τι οὐκ ἀλόγως μαίνομαι· ἄλλως τε καὶ ἡδύ μοι τὸ μεμνῆσθαι

---

ὅπερ ἐπεπόνθειν.

3. Καὶ μόνον οὐκ) Καὶ τοῦτο μόνον ἔλειπεν, ὅτι οὐκ ἐδ.

4. Τὸ καινότατ.) Τοῦτο δηλ. ὅπερ ἐστὶ παραδοξότατον· καινὸν μὲν τὸ νέον, λέγεται δὲ κατὰ μεταφορὰν καὶ τὸ παράδοξον, τὸ γὰρ καινὸν παρὰ δόξαν δοκεῖ.

— Τὴν δὲ ψυχ.) Κατὰ τὴν ψ.

έ. Γαῦρος) Πρὸς τὸ τετυφωμένος ἀναφέρεται· ά. ͡5.

2. Δοκῶ γάρ μοι) Ἀττικῶς ἀντὶ δοκεῖ γάρ μοι.

— Οἱ Ἰνδ.) Διόνυσος γὰρ εἰς Ἰνδοὺς ἀπελθών, καὶ μὴ δυνηθεὶς καταπαλαῖσαι αὐτούς, οἴνῳ ὑποχειρίους ἐποιήσατο. Πολυαιν. Στρατηγ. Α'. ά.

— Φύσει) Ἀπὸ τοῦ κλίματος ὑπὸ τὴν διακεκαυμένην σχεδὸν οἰκοῦντες ζώνην.

ς'. Οὐ μεθ᾽ ἀλλὰ νήφ.) Ὅθεν καὶ ὁ Λιβάν. Μελέτ. ις'. Νῦν νήφω καὶ σωφρονῶ, τότε δὲ μεθύων ὑπὸ φιλοτιμίας ἠγνόουν.

2. Οὐ δὲ γὰρ οὐδὲ) Ἐπανάληψις βεβαιοῦσα τὸ λεγόμενον.

— Ἄλλως τε) Καὶ κατὰ ἄλλον δέ τινα τρόπον, οὐ θέμις καταφρονεῖν αὐτῶν, ἐξαιρέτως δέ, ἐὰν φίλ. ὅθεν τὸ Ἄλλως τε κατ᾽ ἐπιτομὴν εἰς τὸ Μάλιστα μεταποιεῖται παραφραζόμενον.

3. Σπεύδοντα) Ἰλιάδ. Θ. στίχ. 293.
Ἀτρείδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν ὀτρύνεις.

Ε.Ρ.Δ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

αὐτῶν πολλάκις, καὶ ταύτην ἤδη μελέτην ἐποιησάμην· ἐπεὶ κἂν
τις μὴ παρὼν τύχῃ, καὶ οὕτω δὶς ἢ τρὶς τῆς ἡμέρας ἀνα-
κυκλῶ πρὸς ἐμαυτὸν τὰ εἰρημένα.

ζ. Καὶ ὥσπερ οἱ ἐρασταί, τῶν παιδικῶν οὐ παρόντων, ἔργ᾽
ἄττα καὶ λόγους, εἰρημένους αὐτοῖς, διαμνημονεύουσι, καὶ τού-
τοις ἐνδιατρίβοντες ἐξαπατῶσι τὴν νόσον, ὡς παρόντων σφίσι
τῶν ἀγαπωμένων· ἔνιοι γοῦν αὐτοῖς καὶ προσλαλεῖν οἴονται, καὶ 2
ὡς ἄρτι λεγομένων πρὸς αὐτούς, ὧν τότε ἤκουσαν, ἥδονται,
καὶ προσάψαντες τὴν ψυχὴν τῇ μνήμῃ τῶν παρεληλυθότων
σχολὴν οὐκ ἄγουσιν ἐπὶ τοῖς ἐν ποσὶν ἀνιᾶσθαι. Οὕτω δὴ καὶ 3
αὐτός, φιλοσοφίας οὐ παρούσης, τοὺς λόγους, οὓς τότε ἤκουσα,
συναγείρων, καὶ πρὸς ἐμαυτὸν ἀνατυλίττων, οὐ μικρὰν ἔχω πα-
ραμυθίαν. Καὶ ὅλως, καθάπερ ἐν πελάγει καὶ νυκτὶ πολλῇ φε- 4
ρόμενος, ἐς πυρσόν τινα τοῦτον ἀποβλέπω, πᾶσι μὲν παρεῖναι
τοῖς ὑπ᾽ ἐμοῦ πραττομένοις τὸν ἄνδρα ἐκεῖνον οἰόμενος· ἀεὶ δὲ
ὥσπερ ἀκούων αὐτοῦ τὰ αὐτὰ πρός με λέγοντος, ἐνίοτε δέ, καὶ 5
μάλιστα ὅταν ἐνερείσω τὴν ψυχήν, καὶ τὸ πρόσωπον αὐτοῦ μοι
φαίνεται, καὶ τῆς φωνῆς ὁ ἦχος ἐν ταῖς ἀκοαῖς παραμένει.
Καὶ γάρ τοι κατὰ τὸν Κωμικόν, ὡς ἀληθῶς ἐγκατέλιπε τὸ κέν- 6
τρον τοῖς ἀκούουσι.

η. Ἑταῖρ. Παῦε, ὦ θαυμάσιε, μικρὸν ἀνακρουόμενος, καὶ
λέγε ἐξ ἀρχῆς, ἀναλαβὼν ἤδη τὰ εἰρημένα· ὡς οὐ μετρίως με
ἀποκναίεις περιάγων. — Λουκ. Εὖ λέγεις, καὶ οὕτω χρὴ ποιεῖν.
Ἀλλ᾽ ἐκεῖνο, ὦ ἑταῖρε, ἤδη τραγικούς, ἢ καὶ νὴ Δία κωμικούς 2

---

4. Καὶ ταύτην ἤδη) Ἀττικῶς ἀντὶ καὶ τοῦτο· τὸ μεμνῆσθαι δηλ. ἐποιησάμην ἤδη μελέτην· συνεφώνησε δὲ πρὸς τὸ ἑπόμενον τὸ μελέτην κατὰ γένος.

— Καὶ οὕτω) Μόνος ὤν.

ζ. Παιδικ.) Ἐπὶ θηλειῶν καὶ ἀῤῥένων ἐρωμένων τάττεται ἡ λέξις· καὶ τινὲς μὲν ἐπὶ ἀγαθοῦ ἔρωτος, τινὲς δ᾽ ἐπ᾽ αἰσχροῦ λαμβάνουσι. Βαρῖν.

— Αὐτοῖς) Ὑπ᾽ αὐτῶν τῶν παιδικῶν.

— Τὴν νόσ.) Τοῦ ἔρωτος δηλ. ἤγουν τὸ ἐρωτικὸν πάθος.

2. Ἐπὶ τοῖς ἐν π.) Ἐπὶ τοῖς παροῦσιν· ἀπὸ μεταφορᾶς τῶν ὄντων πλησίον τῶν ποδῶν· ταῦτα γὰρ πάντως παρόντα.

3. Φιλοσοφίας οὐ παρ.) Τοῦ φιλοσόφου Νιγρίνου μὴ παρόντος· τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου.

4. Ἐς πυρσ.) Ἔν τισι παραθαλασσίοις μέρεσιν ἀμμώδεσιν, ἢ ὑφάλους πέτρας ἔχουσιν ἐτίθεντο ἐφ᾽ ὑψηλῆς τινος στήλης πυρσοί, ἵν᾽ ἐν νυκτὶ τὰ ἐκεῖθεν διερχόμενα πλοῖα, ὁρῶντα τὸ σημεῖον, φυλάττωνται μή τι πάθωσι.

6. Ἐγκατέλιπε τὸ κέντρ.) Εὔπολις ὁ Κωμικὸς ταῦτα περὶ Περικλέους φησίν· ὡς παρὰ Διοδώρ. Σικελιώτ. βιβλ. ΙΒ΄ εὑρίσκεται.

. . . Περικλέης Ὀλύμπιος.
Ἤστραπτ᾽, ἐβρόντα, συνεκύκα τὴν
Ἑλλάδα.
Πειθώ τις ἐπεκάθισεν ἐπὶ τοῖς χείλεσιν.
Οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων,
Τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις.

η. Ἀνακρουόμ.) Ἔστι κατὰ μεταφορὰν ἀπὸ τῶν πλεόντων καὶ ναυμαχούντων· οὗτοι γὰρ προσβάλλοντες ταῖς ναυσί, καὶ ἐπιστρέφοντες, ἀνακρούονται, λέγουσιν· ὅθεν φησί· Παῦε, ὦ θαυμάσιε, πλησίον γενόμενος τοῦ διηγεῖσθαι, πάλιν ὑπαναχωρεῖν· καὶ λέγε ἐξ ἀρχ.

2. Ἀλλ᾽ ἐκεῖνο) Ἐλλείπει ἐνταῦθα, Δέομαί ἀκοῦσαί μου, ἢ τοιοῦτό τι, πρὸς ὃ τὸ Ἐκεῖνο ἐνεχθείη.

φαύλους ἑώρακας ὑποκριτὰς, τῶν συριττομένων λέγω τούτων, καὶ διαφθειρόντων τὰ ποιήματα, καὶ τὸ τελευταῖον ἐκβαλλομένων· καίτοι τῶν δραμάτων πολλάκις εὖ ἐχόντων τε καὶ
3 νενικηκότων; — Ἑταῖρ. Πολλοὺς οἶδα τοιούτους. Ἀλλὰ τί τοῦτο; — Λουκ. Δέδοικα, μή σοι μεταξὺ δόξω γελοίως αὐτὰ μιμεῖσθαι· τὰ μὲν ἀτάκτως συνείρων, ἐνίοτε δὲ καὶ αὐτὸν ὑπ' ἀσθενείας τὸν νοῦν διαφθείρων· κἆτα προαχθῇς ἠρέμα καὶ αὐ-
4 τοῦ καταγνῶναι τοῦ δράματος. Καὶ τὸ μὲν ἐμὸν, οὐ πάνυ ἄχθομαι· ἡ δὲ ὑπόθεσις οὐ μετρίως με λυπήσειν ἔοικε συνεκπίπτουσα, καὶ, τὸ ἐμὸν μέρος, ἀσχημονοῦσα.

θ'. Τοῦτ' οὖν παρ' ὅλον μέμνησό μοι τὸν λόγον, ὡς ὁ μὲν ποιητὴς ἡμῖν τῶν τοιούτων ἁμαρτημάτων ἀνεύθυνος, καὶ τῆς σκηνῆς πόῤῥω ποι κάθηται, οὐδὲν αὐτῷ μέλλον τῶν ἐν θεάτρῳ
2 πραττομένων. Ἐγὼ δὲ ἐμαυτοῦ σοι πεῖραν παρέχω, ὁποῖός τις εἰμὶ τὴν μνήμην ὑποκριτὴς, οὐδὲν ἀγγέλου τὰ ἄλλα τραγικοῦ
3 διαφέρων. Ὥστε κἂν ἐνδεέστερόν τι δοκῶ λέγειν, ἐκεῖνο μὲν ἔστω πρόχειρον, ὡς ἄμεινον ἦν· καὶ ἄλλως ὁ ποιητὴς ἴσως διεξῄει· ἐμὲ δὲ κἂν ἐκσυρίττῃς, οὐ πάνυ τι λυπήσομαι.

ι. Ἑταῖρ. Ὡς εὖγε, νὴ τὸν Ἑρμῆν, καὶ κατὰ τὸν τῶν ῥητόρων νό-
2 μον πεπροοιμίασταί σοι. Ἔοικας γοῦν κἀκεῖνα προσθήσειν, ὡς δι' ὀλίγου τε ὑμῖν ἡ συνουσία ἐγένετο, καὶ ὡς οὐδ' αὐτὸς ἧκεις πρὸς τὸν λόγον παρεσκευασμένος, καὶ ὡς ἄμεινον εἶχεν αὐτοῦ ταῦτα λέγοντος ἀκούειν· σὺ γὰρ ὀλίγα, καὶ ὅσα οἷόν τε ἦν, τυγχάνεις τῇ μνήμῃ συγκεκομισμένος· οὐ ταῦτ' ἐρεῖν ἔμελλες; οὐδὲν ἂν οὖν αὐτῶν ἔτι σοι δεῖ πρὸς ἐμέ· νόμισον δὲ τούτου γε ἕνεκα πάντα σοι
3 προειρῆσθαι, ὡς ἐγὼ καὶ βοᾷν καὶ κροτεῖν ἕτοιμός εἰμι. Ἢν δὲ

---

— Τῶν συριττ.) Ὅτε γὰρ ἐν θεάτρῳ οὐχ ὑποκρίνονται οἱ ὑποκριταὶ καλῶς τὸ ποίημα, ὁ δῆμος συρίττει αὐτοὺς· πολλάκις δὲ καὶ ἐκβάλλει ἀπὸ τοῦ θεάτρου.

— Καὶ νενικηκ.) Ἀγὼν γὰρ ἦν τῶν ποιητῶν ἐν θεάτρῳ, τίνος τὸ δρᾶμα κρεῖττον φανείη· καὶ ἐνίκα, οὗτινος ἐκροτεῖτο· καὶ παρὰ πᾶσιν ὁμολογεῖτο καλῶς ἔχον· οὕτως οὖν ἔστι καὶ δράματα καλῶς ἔχοντα, καὶ νικῶντα τὸ ἑαυτῶν μέρος, ὁ δὲ ὑποκριτὴς φαῦλος ὢν διαφθείρει αὐτό.

3. Τοῦ δράματ.) Ἐγκαταμένει τῇ μεταφορᾷ· ἔφη γὰρ, καίτοι τῶν δραμάτων πολλάκις εὖ ἐχόντων· ἐννοεῖ δὲ τὰ τοῦ Νιγρίνου λεγόμενα.

4 Τὸ ἐμὸν μέρ.) Τοῦτο δὲ πολλαχῶς ἐκφράζεται· τὸ μέντοι ἐμόν· τὸ γ' ἐπ' ἐμοί· τό γε κατ' ἐμέ.

θ'. Ἡμῖν) Ἡ δοτικὴ αὕτη περιποιητικὴ οὖσα, ἀνέκφραστός ἐστιν ἄλλως· ἴδιον δὲ τοῦτο τῆς Ἑλλάδος φωνῆς.

— Καὶ τῆς σκην.) Ἐπειδήπερ ἅπαξ τὰ περὶ τὴν σκηνὴν εἰς μέσον ἤγαγεν, οὐκ ἀφίσταται τῆς μεταφορᾶς· καλεῖ γὰρ ἐνταῦθα σκηνὴν καὶ θέατρον τὸν τόπον ἔνθα ὑποτίθησιν ἑαυτὸν μετὰ τοῦ ἑταίρου διαλεγόμενον.

2. Τὰ ἄλλα) Κατὰ τὰ ἄλλα.

3. Ὡς ἄμεινον ἦν) Ὅτι δηλαδὴ ὤφειλον ἄμεινον εἰρῆσθαι παρὰ τοῦ Νιγρίνου· καὶ κατὰ ἄλλον τινὰ ἀμείνονα τρόπον.

— Ἐμὲ δὲ) Πρὸς τὸ Ἐκσυρίττῃς ἡ αἰτιατική· ἔδει δὲ εἰπεῖν· ἐγὼ δὲ, κἂν ἐκσυρίττῃς, οὐ λυπήσομαι.

ι. 2 Δι' ὀλίγου) Χρόνου δηλ.

διαμέλλης, μνησικακήσω γε παρὰ τὸν ἀγῶνα, καὶ ὀξύτατα συρίξομαι.

ιά. Λουκ. Καὶ ταῦτα μὲν, ἃ σὺ διῆλθες ἐβουλόμην ἂν εἰρῆσθαί μοι· κἀκεῖνα δὲ, ὅτι γε οὐχ ἑξῆς, οὐδ' ὡς ἐκεῖνος ἔλεγε, ῥῆσίν τινα περὶ πάντων ἐρῶ· πάνυ γὰρ τοῦθ' ἡμῖν ἀδύνατον. Οὐδ' αὖ ἐκείνῳ 2
περιθεὶς τοὺς λόγους, μὴ καὶ κατ' ἄλλο τι γένωμαι τοῖς ὑποκριταῖς ἐκείνοις ὅμοιος, οἱ πολλάκις ἢ Ἀγαμέμνονος, ἢ Κρέοντος, ἢ καὶ Ἡρακλέους αὐτοῦ πρόσωπον ἀνειληφότες, χρυσίδας ἠμφιεσμένοι, καὶ δεινὸν βλέποντες, καὶ μέγα κεχηνότες, μικρὸν φθέγγονται, καὶ ἰσχνὸν, καὶ γυναικῶδες, καὶ τῆς Ἑκάβης ἢ Πολυξένης πολὺ ταπεινότερον. Ἵν' οὖν μὴ καὶ αὐτὸς ἐλέγχωμαι, πάνυ μεῖζον τῆς 3
ἐμαυτοῦ κεφαλῆς προσωπεῖον περικείμενος, καὶ τὴν σκευὴν καταισχύνων, ἀπὸ γυμνοῦ σοι βούλομαι τοὐμοῦ προσώπου προσλαλεῖν, ἵνα μὴ συγκατασπάσω που πεσὼν τὸν ἥρωα, ὃν ὑποκρίνομαι.

ιβ'. Ἑταῖρ. Οὗτος ἀνὴρ οὐ παύσεται τήμερον πρός με πολλῇ τῇ σκηνῇ καὶ τῇ τραγῳδίᾳ χρώμενος. — Λουκ. Καὶ μὴν παύσομαί γε· πρὸς ἐκεῖνα δὲ ἤδη τρέψομαι. Ἡ μὲν ἀρχὴ τῶν λόγων 2
ἔπαινος ἦν Ἑλλάδος, καὶ τῶν Ἀθήνησιν ἀνθρώπων, ὅτι φιλοσοφίᾳ καὶ πενίᾳ σύντροφοί εἰσι, καὶ οὔτε τῶν ἀστῶν, οὔτε τῶν ξένων οὐδένα τέρπονται ὁρῶντες, ὃς ἂν τρυφὴν εἰσάγειν εἰς αὐτοὺς βιάζηται. Ἀλλ' εἰ καί τις ἀφίκηται παρ' αὐτοὺς οὕτω διακείμενος, 3
ἠρέμα τε μεθαρμόττουσι, καὶ παραπαιδαγωγοῦσι, καὶ πρὸς τὸ καθαρὸν τῆς διαίτης μεθιστᾶσιν.

---

3. Παρὰ τὸν ἀγῶν.) Αἰνίττεται τὸν ἐν θεάτρῳ ἀγῶνα τῶν Διονυσίων· ἔνθα οἱ δραματοποιοὶ ἠγωνίζοντο, καὶ διαφόρων δραμάτων ἀκουσθέντων, οἱ ἀγωνοθέται ἐπὶ τὸ βραβεῖον παρεῖχον τῷ κρείττονι φανέντι.

ιά. Εἰρῆσθαί μοι) Εἰπεῖν δηλ.

— Κἀκεῖνα δὲ) Ὁ δὲ προσθετικ.

— Ῥῆσίν τινα) Λέγεται δὲ ῥῆσις ὁ λόγος, τὸ εἰρημένον παρά τινος, καὶ ἡ ἔννοια.

2. Ἀγαμέν.) Ἐν γὰρ τῷ θεάτρῳ οἱ ὑποκριταὶ κατὰ τὸ δρᾶμα ὑποκρίνονται καὶ τὰ πρόσωπα· ἔνθα μὲν γὰρ τὸ δρᾶμα Ἀγαμέμνονα εἰσάγει, τὸν Ἀγαμέμνονα ὑποκρίνεται ὁ ὑποκριτὴς, ἔνθα δὲ Κρέοντα, τὸν Κρέοντα· καὶ τὸν Ἡρακλέα ἔνθα εἰσάγεται ὁ Ἡρακλῆς.

— Χρυσίδας) Ἐπειδὴ σπανιωτάτη ἡ λέξις περὶ ἐνδύματος, φασί τινες, διεφθαρμένον εἶναι τὸ κείμενον ἀντὶ Ξυστίδας· ἔστι γὰρ ξυστὶς ἔνδυμά τι τραγικὸν, χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς, ὥς φησι Σχολ. Ἀριστοφ. ἐν Νεφέλη στίχ. 70.

3. Προσωπεῖον) Προσωπεῖα γὰρ περιτεθέασιν οἱ ὑποκριταὶ κατὰ τὰ διάφορα ὑποκείμενα, ἃ ὑποκρίνονται.

— Ἀπὸ γυμνοῦ σοι βούλ.) Οἷον· ὡς ἀπ' ἐμαυτοῦ λέγων· καὶ οὐχ ὑποκρινόμενος τὸν ἄνδρα ἐκεῖνον.

ιβ'. Οὗτος ἀνὴρ) Ἀνάρθρως ἔθει Ἀττικῷ· τὴν γὰρ ἀπὸ τοῦ ἄρθρου ἀναπόλησιν ἡ ἀντωνυμία ἐμφαίνει.

— Πολλῇ τῇ) Ἀναφέρων δηλ. τὰ περὶ σκηνῆς καὶ τραγῳδίας.

— Καὶ μὴν) Ἀλλ' ἰδοὺ παύσ.

— Πρὸς ἐκεῖνα) Τὰ παρὰ Νιγρίνου εἰρημένα.

2. Καὶ πενίᾳ σύντρ.) Ἡρόδοτ. Ζ. ρβ' τὰ αὐτὰ λέγει.

3. Οὕτω διακείμ.) Τοιαύτην ἔχων διάθεσιν· τρυφῶσαν δηλ.

— Καὶ παραπαιδ.) Καθ' ἑαυτοὺς δηλ. συσχηματίζουσιν· ὅθεν καὶ Κλήμ. Ἀλεξ. Παιδαγ γ'. Πολλοὺς, φησὶ, καὶ τὸ σχῆμα

ιγ΄. Ἐμέμνητο γοῦν τινος τῶν πολυχρύσων, ὃς ἐλθὼν Ἀθήναζε
μάλα ἐπίσημος, καὶ φορτικὸς ἀκολούθων ὄχλῳ, καὶ ποικίλῃ ἐ-
σθῆτι, καὶ χρυσῷ, αὐτὸς μὲν ᾤετο ζηλωτὸς εἶναι πᾶσι τοῖς Ἀθη-
ναίοις, καὶ ὡς ἂν εὐδαίμων ἀποβλέπεσθαι· τοῖς δ᾽ ἄρα δυστυχεῖν
2 ἐδόκει τὸ ἀνθρώπιον· καὶ παιδεύειν ἐπεχείρουν αὐτὸν, οὐ πικρῶς,
οὐδ᾽ ἄντικρυς ἀπαγορεύοντες ἐν ἐλευθέρᾳ τῇ πόλει, καθ᾽ ὅν τινα
3 τρόπον βούλοιτο, βιοῦν· ἀλλ᾽ ἐπεὶ κἀν τοῖς γυμνασίοις, καὶ λου-
τροῖς ὀχληρὸς ἦν, θλίβων τοῖς οἰκέταις, καὶ στενοχωρῶν τοὺς ἀ-
παντῶντας, ἡσυχῇ τις ἂν ὑποφθέγξατο, προσποιούμενος λανθά-
4 νειν, ὥσπερ οὐ πρὸς αὐτὸν ἐκεῖνον ἀποτείνων, «Δέδοικε μὴ παρα-
πόληται μεταξὺ λουόμενος»· καὶ μὴν εἰρήνη γε μακρὰ κα-
τέχει τὸ βαλανεῖον· οὐδὲν οὖν δεῖ στρατοπέδου. Ὁ δὲ ἀκούων
5 ἃ ἦν, μεταξὺ ἐπαιδεύετο. Τὴν δὲ ἐσθῆτα τὴν ποικίλην, καὶ τὰς
πορφυρίδας ἐκείνας ἀπέδυσαν αὐτὸν, ἀστείως πάνυ τὸ ἀνθηρὸν
ἐπισκώπτοντες τῶν χρωμάτων, ἔαρ ἤδη, λέγοντες, καὶ, πόθεν ὁ
ταὼς οὗτος; καὶ, τάχα τῆς μητρός ἐστιν αὐτοῦ· καὶ τὰ τοιαῦτα.
6 Καὶ τὰ ἄλλα δὲ οὕτως ἀπέσκωπτον, ἢ τῶν δακτυλίων τὸ πλῆθος, ἢ
τῆς κόμης τὸ περίεργον, ἢ τῆς διαίτης τὸ ἀκόλαστον. Ὥστε κατὰ
μικρὸν ἐσωφρονίσθη, καὶ παραπολὺ βελτίων ἀπῆλθε, δημοσίᾳ
πεπαιδευμένος.

ιδ΄. Ὅτι δ᾽ οὐκ αἰσχύνονται πενίαν ὁμολογοῦντες, ἐμέμνητο
πρός με φωνῆς τινος, ἣν ἀκοῦσαι πάντων ἔφη κοινῇ προεμένων ἐν
2 τῷ ἀγῶνι τῶν Παναθηναίων. Ληφθέντα μὲν γάρ τινα τῶν πολιτῶν

παραπαιδαγωγεῖ μὴ ἁμαρτάνειν διὰ τὸ εὐεξέλεγκτον. Αἱ δὲ Ἀθῆναι ὡς μὲν Θουκ. Β΄. μά. φησὶ τῆς Ἑλλάδος ἦσαν παίδευσις ὡς δὲ Δικαίαρχ. μαρτυρεῖ. Ὅσον αἱ λοιπαὶ πόλεις πρός τε ἡδονὴν καὶ τοῦ βίου διόρθωσιν τῶν ἀγρῶν διαφέρουσι, τοσοῦτον τῶν λοιπῶν πόλεων ἡ τῶν Ἀθηναίων παραλάττει.

ιγ΄. Ἀθήναζε) Ἀθήνας δε. Ἔνθα ὁ δὲ ἀντὶ τῆς εἰς· ὡς ἐν πολλοῖς ἔστιν εὑρεῖν· καὶ ἐπὶ τὸ ζ ἐκ τοῦ σδ· γίνεται Ἀθήναζε.

— Ὄχλῳ καί. . . ἐσθ. καὶ χρ.) Ἐπὶ τῷ ὄχλ. καὶ ἐσθ. καὶ χρ. ἦν ἐπίσημος καὶ φορτικός.

— Τοῖς δ᾽ ἄρ.) Ἀθηναίοις.

2. Καὶ παιδ.) Ὁ καὶ τόπον ἐπέχει ἀναφορικοῦ· ἀντὶ τοῦ οἵτινες ἐπεχείρουν παιδεύειν.

— Βιοῦν) Ἀπὸ τοῦ ἀπαγορεύοντες ἐξαρτᾶται.

3. Θλίβων τοῖς οἰκ.) Ἀντὶ τοῦ διὰ τοῦ πλήθους τῶν οἰκετῶν στενοχωρίαν ποιῶν.

4. Δέδοικε) Ὁ ἄνθρωπος οὗτος.

— Καὶ μὴν) Ἀλλ᾽ ὅμως.

— Ἃ ἦν) Τἀληθῆ δηλ.

— Μεταξὺ) Ἐν τῷ μεταξὺ χρόνῳ ἐπαιδ.

5. Τὴν δὲ ἐσθ. . . ἀπέδ.) Τὸ ἀποδύω δυσὶ αἰτιατικαῖς συντάσσεται προσώπου καὶ πράγματος.

— Τάχα τῆς μητρ.) Τὰ ἱμάτια δηλ.

ιδ΄. Ἐν τῷ ἀγῶνι τῶν Παναθ.) Ἑορτὴ δὲ αὕτη ἐν Ἀθήναις ἀγομένη εἰς μνήμην αἰώνιον τῆς ἑνώσεως τῶν ἐν Ἀττικῇ πόλεων εἰς μίαν τὰς Ἀθήνας· ἐν ᾗ ἑκάστη πόλις τῶν τε ἐν Ἀττικῇ καὶ τῶν ἐν ἀποικίαις προσέφερε βοῦν τῇ Ἀθηνᾷ, ἧς εἰς τιμὴν ἡ ἑορτὴ αὕτη ἤγετο. Ἐκ τούτων δὲ τῶν βοῶν θαυμαστή τις ἑκατόμβη προσήγετο τῇ Ἀθηνᾷ· ὧν τὰ κρέατα ἤσθιεν ὁ δῆμος. Ἦσαν δὲ τὰ Παναθήναια ταῦτα διπλᾶ. Μεγάλα καὶ μικρά· καὶ τὰ μὲν ἤγοντο κατὰ πενταετίαν ἐν μηνὶ Ἑκατομβαιῶνι, περὶ τὸν ἡμέτερον Ἰούλιον ἐξεταζομένῳ· τὰ μικρὰ δὲ, ἐν Θαργηλιῶνι, περὶ τὸν ἡμέτερον Μάϊον· καὶ ἐκεῖνα μὲν κατὰ τὴν εἰκοστὴν τρίτην, ταῦτα δὲ κατὰ τὴν εἰκοστὴν τοῦ μηνὸς ἤγοντο.

2. Ληφθέντα γάρ) Ἔφη γὰρ ὅτι τὶς τῶν πολιτῶν ληφθεὶς ἤγετο παρὰ τὸν

ἄγεσθαι παρὰ τὸν ἀγωνοθέτην, ὅτι βαπτὸν ἔχων ἱμάτιον ἐθεώρει· τοὺς δὲ, ἰδόντας ἐλεῆσαί τε, καὶ παραιτεῖσθαι, καὶ τοῦ κήρυκος ἀνειπόντος, ὅτι παρὰ τὸν νόμον ἐποίησε, τοιαύτῃ ἐσθῆτι θεώμενος, ἀναβοῆσαι μιᾷ φωνῇ πάντας, ὥσπερ ἐσκεμμένους, συγγνώμην ἀπονέμειν αὐτῷ τοιαῦτά γε ἀμπεχομένῳ· μὴ γὰρ ἔχειν αὐτὸν ἕ- 3
τερα. Ταῦτά τε οὖν ἐπῄνει, καὶ προσέτι τὴν ἐλευθερίαν τὴν ἐκεῖ, 4
καὶ τῆς διαίτης τὸ ἀνεπίφθονον, ἡσυχίαν τε καὶ ἀπραγμοσύνην, ἃ δὴ ἄφθονα παρ' αὐτοῖς ἐστιν. Ἀπεφαίνετό τε φιλοσοφίᾳ συνῳδὸν 5
τὴν παρὰ τοῖς τοιούτοις διατριβὴν, καὶ καθαρὸν ἦθος φυλάξαι δυναμένην, σπουδαίῳ τε ἀνδρὶ, καὶ πλούτου καταφρονεῖν πεπαιδευμένῳ, καὶ τῷ πρὸς τὰ φύσει καλὰ ζῆν προαιρουμένῳ τὸν ἐκεῖ βίον ὡς μάλιστα ἡρμοσμένον.

ιε'. Ὅστις δὴ πλούτου ἐρᾷ, καὶ χρυσῷ κεκήληται, καὶ πορφύρᾳ, καὶ δυναστείᾳ μετρεῖ τὸ εὔδαιμον, ἄγευστος μὲν ἐλευθερίας, ἀπείρατος δὲ παῤῥησίας, ἀθέατος δὲ ἀληθείας, κολακείᾳ τὰ πάν-
τα καὶ δουλείᾳ σύντροφος· ἢ ὅστις ἡδονῇ πᾶσαν τὴν ψυχὴν ἐπι- 2
τρέψας, ταύτῃ μόνῃ λατρεύειν διέγνωκε, φίλος μὲν περιέργων τραπεζῶν, φίλος δὲ πότων, καὶ ἀφροδισίων, ἀνάπλεως γοητείας,
καὶ ἀπάτης, καὶ ψευδολογίας· ἢ ὅς τις ἀκούων τέρπεται κρουμά- 3
των τε, καὶ τερετισμάτων, καὶ διεφθορότων ᾀσμάτων, τοῖς δὴ τοιούτοις πρέπειν τὴν ἐνταῦθα διατριβήν.

ις'. Μεσταὶ γὰρ αὐτοῖς τῶν φιλτάτων πᾶσαι μὲν ἀγυιαὶ, πᾶσαι δὲ ἀγοραί· πάρεστι δὲ πάσαις πύλαις τὴν ἡδονὴν καταδέχεσθαι· τοῦτο μὲν δι' ὀφθαλμῶν· τοῦτο δι' ὤτων τε, καὶ ῥινῶν·
τοῦτο δὲ καὶ διὰ λαιμοῦ, καὶ δι' ἀφροδισίων· ὑφ' ἧς δὴ ῥεούσης ἀεν- 2
νάῳ τε καὶ θολερῷ ῥεύματι, πᾶσαι μὲν ἀνευρύνονται ὁδοί· συνεισέρχεται γὰρ μοιχεία, καὶ φιλαργυρία, καὶ ἐπιορκία, καὶ τὸ τοιοῦτο φῦ-
λον [τῶν ἡδονῶν]· παρασύρεται δὲ, τῆς ψυχῆς ὑποκλυζομένης πανταχόθεν, αἰδὼς, καὶ ἀρετὴ, καὶ δικαιοσύνη· τῶν δὲ ἔρημος ὁ χῶρος γενόμενος, δίψης ἀεὶ πιμπλάμενος, ἀνθεῖ πολλαῖς τε καὶ ἀγρίαις ἐπι- 3

---

ἀγωνοθέτην· οὗτος δὲ ἄρχων ἦν διατεθειμένος τοὺς ἀγῶνας, καὶ μάλιστα τοὺς μουσικούς.

— Τοὺς δὲ) Ἀθηναίους· ἀπὸ κοινοῦ δὲ τὸ ἔφη.

3. Μὴ γὰρ ἔχ.) Ἔλεγον γὰρ ὅτι οὐκ ἔχει Ἐν τοιαύταις περιστάσεσιν ἀεὶ ὁ γὰρ ἔχει ὑπακουόμενον τὸ λέγω ῥῆμα.

5. Ἡρμοσμέν.) Πρὸς τὸ Ἀπεφαίνετο· οἷον· ἀπεφαίνετό τε τὸν ἐκεῖ βίον ὡς μάλιστα ἡρμοσμένον σπουδαίῳ ἀνδρὶ καὶ . . . πεπαιδ.

ιε'. 3. Τοῖς δὴ τοιού.) Πρὸς τὸ ὅστις ἡ ἀνταπόδοσις ἐν πληθυντικῷ διὰ τὸ ἀόριστον· τὸ γὰρ ἀόριστον πλῆθος σημαίνει.

— Τὴν ἐνταῦθα διατρ.) ἐν Ῥώμῃ δηλ.

ις'. Μεσταὶ γὰρ) Ἐκ τοῦ Ἀράτου ταῦτα ἐν προοιμίοις, ἔνθα λέγει

. . . Μεσταὶ καὶ ταύτης πᾶσαι μὲν ἀγυιαί,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ κτλ.

2. Ὑφ' ἧς) Ἀντὶ ὧν δὲ, αἰδοῦς, ἀρετῆς δηλ. καὶ δικαιοσύνης.

3. Ὁ χῶρος) Ἡ ψυχὴ δηλ. ἐμμένων γὰρ τῇ μεταφορᾷ λέγει ταῦτα.

4 θυμίαις. Τοιαύτην ἀπέφαινε τὴν πόλιν, καὶ τοσούτων διδάσκαλον ἀγαθῶν.

ιζ. Ἔγωγ' οὖν, ἔφη, ὅτε τὸ πρῶτον ἐπανήειν ἀπὸ τῆς Ἑλλάδος, πλησίον που γενόμενος, ἐπιστήσας ἐμαυτὸν λόγον ἀπῄτουν τῆς δεῦρο ἀφίξεως, ἐκεῖνα δὴ τὰ τοῦ Ὁμήρου λέγων·

Τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο,

τὴν Ἑλλάδα, καὶ τὴν εὐτυχίαν ἐκείνην, καὶ τὴν ἐλευθερίαν, ἤλυθες, ὄφρα ἴδῃς τὸν ἐνταῦθα θόρυβον, συκοφάντας, καὶ προσαγορεύσεις ὑπερηφάνους, καὶ δεῖπνα καὶ κόλακας, καὶ μιαιφονίας, καὶ δια-
2 θηκῶν προσδοκίας, καὶ φιλίας ἐπιπλάστους; ἢ τί καὶ πράξειν διέγνωκας, μήτ' ἀπαλλάττεσθαι, μήτε χρῆσθαι τοῖς καθεστῶσι δυνάμενος;

ιή. Οὕτω δὴ βουλευσάμενος, καὶ, καθάπερ ὁ Ζεὺς τὸν Ἕκτορα, ὑπεξαγαγὼν ἐμαυτὸν ἐκ βελέων, φασὶν,

Ἔκ τ' ἀνδροκτασίης, ἔκθ' αἵματος, ἔκ τε κυδοιμοῦ,

τὸ λοιπὸν οἰκουρεῖν εἱλόμην, καὶ βίον τινὰ τοῦτον γυναικώδη, καὶ ἄτολμον τοῖς πολλοῖς δοκοῦντα προτιθέμενος, αὐτῇ φιλοσοφίᾳ, καὶ
2 Πλάτωνι, καὶ ἀληθείᾳ προσλαλῶ. Καὶ καθίσας ἐμαυτὸν, ὥσπερ ἐν θεάτρῳ μυριάνδρῳ, σφόδρα που μετέωρος ἐπισκοπῶ τὰ γιγνόμενα, τοῦτο μὲν, πολλὴν ψυχαγωγίαν καὶ γέλωτα παρέχειν δυνάμενα, τοῦτο δὲ, πεῖραν ἀνδρὸς ὡς ἀληθῶς βεβαίου λαβεῖν.

ιθ'. Εἰ γὰρ χρὴ καὶ κακῶν ἔπαινον εἰπεῖν, μὴ ὑπολάβῃς μεῖ-

---

4. Τὴν πόλ.) Περὶ τῆς Ῥώμης λέγει ταῦτα· καὶ δῆλον ὅτι εἰρωνικῶς.

ιζ. Πλησίον πού γεν.) Τῆς Ῥώμης δηλ. πόλεως, τῆς τρυφώσης.

— Ἐπιστήσας ἐμ.) Ἀντὶ στήσας ἐν ἑνὶ τρόπῳ ἐμαυτόν.

— Τῆς δεῦρο) ἐν Ῥώμῃ δηλ.

— Τὰ τοῦ Ὁμ.) Ὀδυσ. Λ. στίχ. 92. ἔνθα Τειρεσίας πρὸς Ὀδυσσέα λέγει.

Τίπτ' αὖ, ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο.
Ἤλυθες· ὄφρ' ἴδῃς νέκυας καὶ ἀτερπέα χῶρον.

ιή. Ἐκ βελέων) Ἔστι παροιμία ἔξω βελῶν· περὶ τῶν ἐν βεβαίῳ γενομένων, καὶ μακρὰν τοῦ κινδύνου· ὁ δὲ στίχος ἐξ Ἰλ. Λ. στίχ. 163.

Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς, ἔκ τε κονίης,
Ἔκ τ' ἀνδροκτασίης, ἔκθ' αἵματος, ἔκ τε κυδοιμοῦ.

— Καὶ βίον τινα τοῦτ.) Καὶ εἱλόμην οἰκουρεῖν, προτιθέμενος τοῦτον τὸν βίον γυναικώδη τινὰ ὄντα.

— Καὶ Πλ.) Ἐπειδὴ Πλατωνικὸς ἦν φιλόσοφος ὁ Νιγρῖνος, τῇ φιλοσοφίᾳ καὶ ἀληθείᾳ παρέμιξε τὸν Πλάτωνα.

2. Μυριάνδ.) Ἀντὶ Πολυάνδρῳ τὰ μύρια ἀντὶ ἁπλῶς πολλὰ λαμβάνουσι πολλάκις Ἕλληνες.

— Μετέωρ.) Ὧν δηλ. ὥσπερ τὸν Χάρωνα καὶ Ἑρμῆν ὑπέθετο ἐπισκοποῦντας ἐν τῷ διαλόγῳ Χάρων, ἢ Ἐπισκοποῦντες.

— Τοῦτο μὲν . . . τοῦτο δὲ) Ἔθος δὲ οὕτω μερίζειν τοῖς Ἕλλησι· κεῖται δὲ περιττῶς τὸ τοῦτο· ἀντὶ τοῦ πολλὴν μὲν ψυχαγωγίαν παρέχειν, πεῖραν δὲ ἀνδρὸς λαβεῖν δυνάμενα.

— Πεῖραν . . . λ.) Περίφρασις ἀντὶ τοῦ παρ' ἡμῖν δοκιμάσαι.

ιθ'. Τῆς δὲ τῆς πόλ.) Τῆς Ῥώμης δηλ. ἡ δὲ γενικὴ παραθετικῶς πρὸς τὸ μεῖζον.

— Τῆς ἐνταῦθ.) Ἐν Ῥώμῃ. Περὶ δὲ τῆς ἐν Ῥώμῃ ἡδονῆς καὶ οἱ Κομμόδου κόλακες μετὰ τὸν θάνατον τοῦ πατρὸς διαφθείροντες αὐτὸν ἔλεγον ὑπομιμνήσκοντες αὐτὸν τῆς ἐν Ῥώμῃ τρυφῆς, θεάματά τε καὶ ἀκούσματα τερπνὰ διηγούμενοι κτλ. Ἡρωδιαν. Α. ς'. 2.

ζόν τι γυμνάσιον ἀρετῆς, ἢ τῆς ψυχῆς δοκιμασίαν ἀληθεστέραν
τῆς δε τῆς πόλεως, καὶ τῆς ἐνταῦθα διατριβῆς. Οὐ γὰρ μικρὸν 2
ἀντισχεῖν τοσαύταις μὲν ἐπιθυμίαις, τοσούτοις δὲ θεάμασί τε καὶ
ἀκούσμασι πάντοθεν ἕλκουσι, καὶ ἀντιλαμβανομένοις. Ἀλλ' ἀτε- 3
χνῶς δεῖ τὸν Ὀδυσσέα μιμησάμενον παραπλεῖν αὐτά, μὴ δε-
δεμένον τὼ χεῖρε, δειλὸν γάρ, μηδὲ τὰ ὦτα κηρῷ φραξάμενον,
ἀλλ' ἀκούοντα, καὶ λελυμένον, καὶ ἀληθῶς ὑπερήφανον.

κ΄. Ἔνεστι δὲ καὶ φιλοσοφίαν θαυμάσαι, παραθεωροῦντα
τὴν τοσαύτην ἄνοιαν, καὶ τῶν τῆς τύχης ἀγαθῶν καταφρονεῖν,
ὁρῶντα, ὥσπερ ἐν σκηνῇ καὶ πολυπροσώπῳ δράματι, τὸν μὲν
ἐξ οἰκέτου δεσπότην προϊόντα, τὸν δ' ἀντὶ πλουσίου, πένητα·
τὸν δὲ, σατράπην ἐκ πένητος, ἢ βασιλέα· τὸν δὲ φίλον τούτου·
τὸν δὲ ἐχθρόν· τὸν δὲ φυγάδα. Τοῦτο γάρ τοι καὶ τὸ δεινό- 2
τατόν ἐστιν, ὅτι καί τοι μαρτυρουμένης τῆς τύχης παίζειν τὰ
τῶν ἀνθρώπων πράγματα, καὶ ὁμολογούσης μηδὲν αὐτῶν εἶναι
βέβαιον, ὅμως ταῦθ' ὁσημέραι βλέποντες, ὀρέγονται καὶ πλού-
του, καὶ δυναστείας· καὶ μεστοὶ περιΐασι πάντες οὐ γιγνομέ-
νων ἐλπίδων.

κά. Ὁ δὲ δὴ ἔφην, ὅτι καὶ γελᾷν ἐν τοῖς γιγνομένοις ἔνεσ-
τι, καὶ ψυχαγωγεῖσθαι, τοῦτο ἤδη σοι φράσω. Πῶς γὰρ οὐ 2
γελοῖοι μὲν οἱ πλουτοῦντες αὐτοί, καὶ τὰς πορφυρίδας προφαί-
νοντες, καὶ τοὺς δακτύλους προτείνοντες, καὶ πολλὴν κατηγο-
ροῦντες ἀπειροκαλίαν; Τὸ δὲ καινότατον, τοὺς ἐντυγχάνοντας 3
ἀλλοτρίᾳ φωνῇ προσαγορεύοντες, ἀγαπᾷν ἀξιοῦντες, ὅτι μόνον
αὐτοὺς προσέβλεψαν. Οἱ δὲ σεμνότεροι, καὶ προσκυνεῖσθαι πε- 4
ριμένοντες, οὐ πόῤῥωθεν, οὐδ' ὡς Πέρσαις νόμος, ἀλλὰ δεῖ προ-
σελθόντα, καὶ ὑποκύψαντα, καὶ πόῤῥωθεν τὴν ψυχὴν ταπεινώ-
σαντα, καὶ τὸ πάθος αὐτῆς ἐμφανίσαντα τῇ τοῦ σώματος ὁ-

3. Τὸν Ὀδυσ. μιμ.) Ὁ γὰρ Ὀδυσσεὺς ἀκινδύνως παρῆλθε τὸν τῶν Σειρήνων κίνδυνον, τῶν μὲν ἑταίρων φραξάμενος τὰ ὦτα κηρῷ, ἵνα μὴ ἀκούσωσι τὸ ἡδὺ τῆς φωνῆς αὐτῶν ᾀδουσῶν, αὐτὸν δὲ προσέταξε δήσαντας τῷ ἱστῷ μὴ λῦσαι, καί τοι βουλόμενον, μέχρις ἂν παρέλθωσι. Καὶ οὕτως οἱ μὲν λελυμένοι οὐκ ἤκουον τῆς ᾠδῆς, αὐτὸς δὲ ἀκούων οὐκ ἠδύνατο, δεδεμένος ὤν, πρὸς αὐτὰς ἀπελθεῖν· πάντες δὲ τὸν κίνδυνον διέφυγον. Ὁμηρ. Ὀδυσ. Μ. στιχ. 39. 55.

— Τὼ χεῖρε) Ἀττικῶς ἀντὶ τὰ χεῖρε.

— Δειλὸν γὰρ) Δειλίας γὰρ ἐμφαντικόν.

κ΄. Προϊόντα) Προβαίνοντα δηλ. ἐξ οἰκέτου εἰς δεσπότην.

— Πένητα) Γενόμενον· ὅπερ καὶ ἐν τοῖς λοιποῖς ἐννοεῖται.

2. Καὶ τὸ δεινότ.) Τὸ ἄρθρον σημαίνει βεβαίωσιν.

— Οὐ γιγν.) Ἐλπίδων, αἵ τινες οὐ γίγνονται, οὐκ ἐκτελοῦνται.

κά. 2. Προτειν.) Ἵνα δείξωσι τοὺς ἐν αὐτοῖς δακτυλίους.

3. Ἀγαπᾷν) Τὸ παρ' ἡμῖν, ἀξιοῦντες ἵνα εὐχαριστῶνται καὶ εἰς τοῦτο, ὅτι κατεδέχθησαν, καὶ ἔβλεψαν μικρόν τι πρὸς αὐτούς.

4. Ὡς Πέρσ. νόμ.) Ζηνόβ. κεφ. ϛ. 25. «Πέρσαι τοὺς βασιλεῖς ἑαυτῶν ὡς θεοὺς «προσκυνοῦσι· καὶ οἱ μὲν ἴσοι ἀλλήλους «καταφιλοῦσιν· οἱ δὲ ταπεινότεροι τῶν



ΙΩΑΝΝΙΝΑ 2006

*μοιότητι, τὸ στῆθος, ἢ τὴν δεξιὰν καταφιλεῖν, ζηλωτὸν καὶ περίβλεπτον τοῖς μηδὲ τούτου τυγχάνουσιν· ὁ δ' ἕστηκε παρέχων*
5 *ἑαυτὸν εἰς πλείω χρόνον ἐξαπατώμενον. Ἐπαινῶ δέ γε ταύτης αὐτοὺς τῆς ἀπανθρωπίας, ὅτι μηδὲ τοῖς στόμασιν ἡμᾶς προσίενται.*

κβ΄. Πολὺ *δὲ τούτων οἱ προσιόντες αὐτοὶ καὶ θεραπεύοντες γελοιότεροι· νυκτὸς μὲν ἐξανιστάμενοι μέσης, περιθέοντες δὲ ἐν κύκλῳ τὴν πόλιν, καὶ πρὸς τῶν οἰκετῶν ἀποκλειόμενοι, κύνες, καὶ*
2 *κόλακες καὶ τὰ τοιαῦτα ἀκούειν ὑπομένοντες.* Γέρας *δὲ τῆς πικρᾶς ταύτης αὐτοῖς περιόδου, τὸ φορτικὸν ἐκεῖνο δεῖπνον, καὶ πολλῶν αἴτιον συμφορῶν· ἐν ᾧ πόσα μὲν ἐμφαγόντες, πόσα δὲ παρὰ γνώμην ἐμπιόντες, πόσα δέ, ὧν οὐκ ἐχρῆν, ἀπολαλήσαντες, ἢ μεμφόμενοι τὸ τελευταῖον, ἢ δυσφοροῦντες ἀπίασιν, ἢ διαβάλλοντες τὸ δεῖπνον, ἢ ὕβριν, ἢ μικρολογίαν ἐγκαλοῦντες, πλήρεις δὲ αὐτῶν ἐμούντων οἱ στενωποί, καὶ πρὸς τοῖς χα-*
3 *μαιτυπείοις μαχομένων.* Καὶ *μεθ' ἡμέραν οἱ πλείονες αὐτῶν κατακλιθέντες, ἰατροῖς παρέχουσιν ἀφορμὰς περιόδων. Ἔνιοι μὲν γάρ, τὸ καινότατον, οὐδὲ νοσεῖν σχολάζουσιν.*

κγ΄. *Ἐγὼ μέντοι γε πολὺ τῶν κολακευομένων ἐξωλεστέρους τοὺς κόλακας ὑπείληφα· καὶ σχεδὸν αὐτοῖς ἐκείνους καθίστασ-*
2 *θαι τῆς ὑπερηφανίας αἰτίους. Ὅταν γὰρ αὐτῶν τὴν περιουσίαν θαυμάσωσι, καὶ τὸν χρυσὸν ἐπαινέσωσι, καὶ τοὺς πυλῶνας ἕωθεν ἐμπλήσωσι, καὶ προσελθόντες ὥσπερ δεσπότας προσεί-*
3 *πωσι, τί καὶ φρονήσειν ἐκείνους εἰκός ἐστιν;* Εἰ *δέ γε κοινῷ δόγματι κἂν πρὸς ὀλίγον ἀπέσχοντο τῆσδε τῆς ἐθελοδουλείας, οὐκ ἂν οἴει τοὐναντίον αὐτοὺς ἐλθεῖν ἐπὶ τὰς θύρας τῶν πτωχῶν δεομένους τοὺς πλουσίους, μὴ ἀθέατον αὐτῶν μηδ' ἀμάρτυρον τὴν εὐδαιμονίαν καταλιπεῖν, μηδ' ἀνόνητόν τε καὶ ἄχρηστον τῶν τραπεζῶν τὸ κάλλος, καὶ τῶν οἴκων τὸ μέγεθος;* Οὐ *γὰρ οὕτω τοῦ πλουτεῖν ἐρῶσιν, ὡς τοῦ διὰ τὸ πλουτεῖν εὐ-*

---

»παρειῶν τῶν μειζόνων μόνον τυγχάνουσι.«

— Τὸ στῆθος) Περὶ τοῦ ἔθους τούτου καὶ Πλούταρχ. ἐν Βρούτ. φησί. Καὶ στέρνα καὶ κεφαλὴν κατεφίλουν.

— Περίβλ.) Δοκεῖ ἐλλείπειν· τὸν προσελθόντα εἶναι.

— Τοῖς μηδὲ τούτ.) Τοῦ φιλῆσαι δηλ. τὸ στῆθος ἢ τὴν δεξιὰν τοῦ πλουτοῦντος.

— Ὁ δ') Οὗτος δέ, ὁ πλουτῶν δηλ.

5. Ὅτι μηδὲ τοῖς στόμ.) Διὰ τί δή; ὅτι πάντως ὄζει αὐτῶν τὰ στόματα.

κβ΄. 2. Τὸ φορτικὸν ἐκεῖνο) Τῶν Ῥωμαίων οἱ πλουτοῦντες εἱστίων τοὺς παρασίτους αὐτῶν· καὶ τισιν ἡμέραις· οἵτινες πρὸς ἡδονὴν ἐκείνων πάντα ἐποίουν τε καὶ ἔπραττον καὶ ἔλεγον.

— Παρὰ γνώμ.) Ἑαυτῶν δηλ.

3. Ἀφορμὰς περιόδ.) Περιέρχεσθαι δηλ. τοὺς ἰατρούς.

κγ΄. 3. Μὴ ἀθέατ.) Εὐριπίδ. Μήδ. στίχ. 542.

Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις.
Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος.
Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.

θαιμονίζεσθαι. Καὶ οὕτω δὲ ἔχει, μηδὲν ὄφελος εἶναι περικαλ- 4
λοῦς οἰκίας τῷ οἰκοῦντι, μηδὲ χρυσοῦ καὶ ἐλέφαντος, εἰ μή τις
αὐτὰ θαυμάζοι. Ἐχρῆν οὖν ταύτῃ τοι καθαιρεῖν αὐτῶν, καὶ 5
ἀπευωνίζειν τὴν δυναστείαν, ἐπιτειχίσαντα τῷ πλούτῳ τὴν ὑ-
περοψίαν· νῦν δὲ λατρεύοντες, εἰς ἀπόνοιαν ἄγουσι.

κδ'. Καὶ τὸ μὲν ἄνδρας ἰδιώτας, καὶ ἀναφανδὸν τὴν ἀπαι-
δευσίαν ὁμολογοῦντας τὰ τοιαῦτα ποιεῖν, μετριώτερον ἂν εἰκό-
τως νομισθείη. Τὸ δὲ καὶ τῶν φιλοσοφεῖν προσποιουμένων, πολ-
λῷ ἔτι τούτων γελοιότερα δρᾷν, τοῦτ' ἤδη τὸ δεινότατόν ἐστι.
Πῶς γὰρ οἴει τὴν ψυχὴν διατεθεῖσθαί μοι, ὅταν ἴδω τούτων 2
τινὰ, μάλιστα τῶν προβεβηκότων, ἀναμεμιγμένον κολάκων ὄχ-
λῳ, καὶ τῶν ἐπ' ἀξίας τινὰ δορυφοροῦντα, καὶ τοῖς ἐπὶ τὰ δεῖ-
πνα παραγγέλλουσι κοινολογούμενον, ἐπισημότερον δὲ τῶν ἄλ-
λων ἀπὸ τοῦ σχήματος ὄντα, καὶ φανερώτερον; Καὶ, ὃ μάλι- 3
στα ἀγανακτῶ, ὅτι μὴ καὶ τὴν σκευὴν μεταλαμβάνουσι, τὰ
ἄλλα γε ὁμοίως ὑποκρινόμενοι τοῦ δράματος.

κέ. Ἃ μὲν γὰρ ἐν τοῖς συμποσίοις ἐργάζονται, τίνι τῶν
καλῶν εἰκάσομεν; Οὐκ ἐμφοροῦνται μὲν ἀπειροκαλώτερον, 2
μεθύσκονται δὲ φανερώτερον, ἐξανίστανται δὲ πάντων ὕστατοι,
πλείω δὲ ἀποφέρειν τῶν ἄλλων ἀξιοῦσιν; Οἱ δὲ ἀστειότεροι
πολλάκις αὐτῶν καὶ ᾆσαι προήχθησαν· καὶ ταῦτα μὲν οὖν γε- 3
λοῖα ἡγεῖτο. Μάλιστα δὲ ἐμέμνητο τῶν ἐπὶ μισθῷ φιλοσοφούν-
των, καὶ τὴν ἀρετὴν ὤνιον ὥσπερ ἐξ ἀγορᾶς προτιθέντων. Ἐρ- 4
γαστήρια γοῦν ἐκάλει καὶ καπηλεῖα τὰς τούτων διατριβάς. Ἠ-
ξίου γὰρ τὸν πλούτου καταφρονεῖν διδάξοντα, πρῶτον ἑαυτὸν
παρέχειν ὑψηλότερον λημμάτων.

---

4. Μηδὲν ὄφελ.) Ὥστε μηδὲν εἶναι ὄφελος περικαλ. καὶ τλ.

5. Ταύτῃ τοι) Ἐπὶ ταύτῃ δηλ. τῇ αἰτίᾳ· διὰ τοῦτο· καὶ ἔστι τὸ Ταύτῃ τοι, καθάπερ καὶ τὸ Ταῦτά τοι αἰτιολογικὸν μόριον κατ' ἔλλειψιν λεγόμενον.

— Καὶ ἀπευων.) Εὔωνον ποιεῖν, καὶ ἐξευτελίζειν.

— Ἐπιτειχίσ.) Ἀντὶ τοῦ, ὥσπερ τείχισμα προτιθέντας κατὰ τοῦ πλούτου τὴν ὑπεροψίαν.

κδ'. 2. Κοινολογ.) Οἱ γὰρ πλουτοῦντες ἐν Ῥώμῃ προσέταττον τοὺς οἰκέτας προσκαλεῖν ἐπὶ τὰ δεῖπνα· οἷς κοινολογούμενον τὸν φιλόσοφον οὐκ ἔφερεν ὁρᾶν Νιγρῖνος.

— Ἀπὸ τοῦ σχήμ.) Τριβώνιον γὰρ ἴδιον τῶν φιλοσόφων ἐν Ῥώμῃ ἔνδυμα ἦν, ὅθεν φανεροὶ πᾶσιν ἦσαν.

3. Μεταλαμβάν.) Τὸ μεταλαμβάνω γενικῇ· οἷον· μεταλαμβάνω τῆς ὠφελείας· συντάσσεται δὲ καὶ αἰτιατικῇ· οἷον· οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων· ἔνθα δηλ. μέρος σημαίνει, γενικῇ· ἔνθα δὲ τὸ ὅλον, αἰτιατικῇ.

— Τοῦ δράμ.) Τῆς κολακείας· μεταφορικῶς ἀπὸ τῶν ὑποκριτῶν· ἡ δὲ γενικὴ κτητικῶς πρὸς τὰ ἄλλα πράγματα.

κέ. 2. Ἀποφέρ.) Ἐκ τούτου δοκεῖ ὅτι οἱ παράσιτοι μετὰ τὸ δεῖπνον τὸ ἀπὸ τῆς τραπέζης λειπόμενον μεθ' ἑαυτῶν ἐλάμβανον.

3 Ὥσπερ ἐξ ἀγορ.) Ὥσπερ ἐξ ἀγορᾶς ἦν πρίασθαι.

4. Ἐργαστήρ.) Τὰ τῶν τοιούτων φιλοσόφων διδασκαλεῖα τοῖς ἐργαστηρίοις καὶ καπηλείοις παραβάλλει Νιγρῖνος ἐν ἐλέγξει τοὺς ἀνοήτους φιλοσόφους.

ΕΥ. Α τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κϛʹ. Ἀμέλει καὶ πράττων ταῦτα διετέλει· οὐ μόνον προῖκα
τοῖς ἀξιοῦσι συνδιατρίβων, ἀλλὰ καὶ τοῖς δεομένοις ἐπαρκῶν,
καὶ πάσης περιουσίας καταφρονῶν· τοσούτου δέον ὀρέγεσθαι τῶν
οὐδὲν προσηκόντων, ὥστε μηδὲ τῶν ἑαυτοῦ φθειρομένων ποιεῖσ-
θαι πρόνοιαν· ὅς γε καὶ ἀγρὸν οὐ πόῤῥω τῆς πόλεως κεκτη-
μένος, οὐδὲ ἐπιβῆναι αὐτοῦ πολλῶν ἐτῶν ἠξίωσεν, ἀλλ᾽ οὐδὲ
2 τὴν ἀρχὴν αὐτοῦ εἶναι διωμολόγει. Ταῦτ᾽ οἶμαι διειληφὼς,
ὅτι τούτων μὲν φύσει οὐδενός ἐσμεν κύριοι, νόμῳ δὲ καὶ δια-
δοχῇ τὴν χρῆσιν αὐτῶν εἰς ἀόριστον παραλαμβάνοντες, ὀλιγο-
χρόνιοι δεσπόται νομιζόμεθα, κἀπειδὰν ἡ προθεσμία παρέλθῃ,
3 τηνικαῦτα παραλαβὼν ἄλλος ἀπολαύει τοῦ ὀνόματος. Οὐ μι-
κρὰ δὲ ἐκεῖνα παρέχει τοῖς ζηλοῦν ἐθέλουσι παραδείγματα, τῆς
τροφῆς τὸ ἀπέριττον, καὶ τῶν γυμνασίων τὸ σύμμετρον, καὶ
τοῦ προσώπου τὸ αἰδέσιμον, καὶ τῆς ἐσθῆτος τὸ μέτριον· ἐφ᾽
ἅπασι δὲ τούτοις, τῆς διανοίας τὸ ἡρμοσμένον, καὶ τὸ ἥμερον
τοῦ τρόπου.

κζʹ. Παρῄνει δὲ τοῖς συνοῦσι μήτ᾽ ἀναβάλλεσθαι τὸ ἀγαθὸν,
ὅπερ τοὺς πολλοὺς ποιεῖν, προθεσμίας ὁριζομένους ἑορτὰς, ἢ
πανηγύρεις, ὡς ἀπ᾽ ἐκείνων ἀρξαμένους τοῦ μὴ ψεύσασθαι, καὶ
τοῦ τὰ δέοντα ποιῆσαι. Ἠξίου γὰρ ἀμέλλητον εἶναι τὴν πρὸς
2 τὸ καλὸν ὁρμήν. Δῆλος δὲ ἦν καὶ τῶν τοιούτων κατεγνωκὼς
φιλοσόφων, οἳ ταύτην ἄσκησιν ἀρετῆς ὑπελάμβανον, ἢν πολλαῖς
ἀνάγκαις, καὶ πόνοις τοὺς νέους ἀντέχειν καταγυμνάσωσι· τοῦ-
το μὲν δεῖν οἱ πολλοὶ κελεύοντες, ἄλλοι δὲ μαστιγοῦντες· οἱ δὲ
χαριέστεροι, καὶ σιδήρῳ τὰς ἐπιφανείας αὐτῶν καταξύοντες.

κηʹ. Ἡγεῖτο γὰρ χρῆναι πολὺ πρότερον ἐν ταῖς ψυχαῖς τὸ

---

κϛʹ. Ἀμέλ.) Οὐ μόνον ἔλεγε ταῦτα, ἀλλὰ καὶ πράττων διετέλει ὁ Νιγρῖνος, ἅτε ἀληθὴς φιλόσοφος ὤν. — Ποιεῖσθαι πρόν.) Περίφρασις, ἀντὶ Φροντίζειν.

— Οὐδὲ ἐπιβῆναι) Ἀλλὰ τοῦτό γε, εἰ καί τις ἄλλος ἐν ἐπαίνῳ θείη, τῷ γε μὴν εὖ ἐπιστήσαντι τὸν νοῦν, οὐ τῶν ἐπαινουμένων· ἀργῆς γὰρ καὶ ῥαθύμου ψυχῆς ἴδιον, μὴ εἰδυίας εἰς δέον χρῆσθαι τῷ κτήματι· φιλοσόφου γὰρ ἀνδρὸς καὶ μετὰ λόγου κρίνοντι τὸ, ἐργαζόμενον ὠφελεῖν καὶ ἄλλους ἐκ τῆς ἐργασίας ταύτης κατὰ τὰς μελίττας, καὶ μὴ τοὺς κηφῆνας μιμούμενον. — Τὴν ἀρχ.) Ὡμολόγει γὰρ ὅτι παντάπασιν οὐκ ἦσαν ἴδια αὐτοῦ· ὥσπερ καὶ Εὐριπ. ἐν Φοιν. στίχ. 557. φησίν.

Οὔτοι τὰ χρήματ᾽ ἴδια κέκτηνται βροτοί,
Τὰ τῶν θεῶν δ᾽ ἔχοντες ἐπιμελούμεθα.

2. Ταῦτ᾽) Ἐποίει δηλ. κατὰ νοῦν θείς.

3. Τῆς διανοίας τὸ ἡρμ.) Ἀντὶ τὸ ἡρμοσμένη διάνοια, καὶ ὁ ἥμερος τρόπος· μεταλαμβάνεται δὲ ἐν τοῖς τοιούτοις τὸ οὐσιαστικὸν εἰς γενικὴν καὶ τὸ ἐπίθετον εἰς οὐδέτερον μετὰ πτώσεως, ἣν ἀπαιτεῖ τὰ τῆς συντάξεως.

κζʹ. Ἀμέλλητον) Ἀπὸ τοῦ μέλλω, μελλήσω· οἷον· ἔλεγε γὰρ ὅτι οὐ δεῖ διαμέλλειν εἰς τὸ ὁρμᾷν πρὸς τὸ ἀγαθὸν, ἀναβάλλοντας τὸν καιρόν.

2. Τοῦτο μὲν δεῖν) Τὸ αἰδοῖον δηλ. ὅθεν καὶ Διογεν. Λαέρ. ἐπαινῶν Ξενοκράτην Δʹ. ζʹ. φησίν· «οὕτως εἶναι ἐγ»κρατῆ, ὥστε καὶ τομὰς καὶ καύσεις »πολλὰς ὑπομεῖναι περὶ τὸ αἰδοῖον.»

στεῤῥὸν τοῦτο καὶ ἀπαθὲς κατασκευάσαι, καὶ τὸν ἄριστα παι-
δεύειν ἀνθρώπους προαιρούμενον, τοῦτο μὲν ψυχῆς, τοῦτο δὲ
σώματος, τοῦτο δὲ ἡλικίας τε καὶ τῆς πρότερον ἀγωγῆς ἐστο-
χάσθαι, ἵνα μὴ τὰ παρὰ δύναμιν ἐπιτάττων ἐλέγχηται. Πολ- 2
λοὺς γοῦν καὶ τελευτᾷν ἔφασκεν οὕτως ἀλόγως ἐπιταθέντας· ἕ-
να δὲ καὶ αὐτὸς εἶδον, ὃς καὶ γευσάμενος τῶν παρ' ἐκείνοις
κακῶν, ἐπειδὴ τάχιστα λόγων ἀληθῶν ἐπήκουσεν, ἀμεταστρε-
πτὶ φεύγων ὡς αὐτὸν ἀφίκετο, καὶ δῆλος ἦν ῥᾷον διακείμενος.

κθ΄. Ἤδη δὲ τούτων ἀποστὰς, τῶν ἄλλων αὖθις ἀνθρώπων ἐμέμνητο, καὶ τὰς ἐν τῇ πόλει ταραχὰς διεξῄει, καὶ τὸν ὠθισμὸν αὐτῶν, καὶ τὰ θέατρα, καὶ τὸν ἱππόδρομον, καὶ τὰς τῶν ἡνιόχων εἰκόνας, καὶ τὰ τῶν ἵππων ὀνόματα, καὶ τοὺς ἐν τοῖς στενωποῖς περὶ τούτων διαλόγους. Πολλὴ γὰρ ὡς ἀληθῶς ἡ ἱππομανία, καὶ πολλῶν ἤδη σπουδαίων εἶναι δοκούντων ἐπείληπται.

λ΄. Μετὰ δὲ ταῦτα, ἑτέρου δράματος ἥπτετο τῶν ἀμφὶ τὴν
νεκυίαν τε καὶ διαθήκας καλινδουμένων, προστιθεὶς, ὅτι μίαν
φωνὴν οἱ Ῥωμαίων παῖδες ἀληθῆ παρ' ὅλον τὸν βίον προΐεν-
ται, τὴν ἐν ταῖς διαθήκαις λέγων, ἵνα μὴ ἀπολαύσωσι τῆς
σφετέρας ἀληθείας. Ἃ δὲ καὶ μεταξὺ λέγοντος αὐτοῦ γελᾷν 2
προήχθην, ὅτι καὶ συγκατορύττειν ἑαυτοῖς ἀξιοῦσι τὰς ἀμα-
θείας, καὶ τὴν ἀναλγησίαν ἔγγραφον ὁμολογοῦσιν· οἱ μὲν ἐσθῆ- 3
τας ἑαυτοῖς κελεύοντες συγκαταφλέγεσθαι, οἱ δ' ἄλλο τι τῶν
παρὰ τὸν βίον τιμίων· οἱ δὲ καὶ παραμένειν τινὰς οἰκέτας τοῖς
τάφοις· ἔνιοι δὲ καὶ στέφειν τὰς στήλας ἄνθεσιν, εὐήθεις ἔτι
καὶ παρὰ τὴν τελευτὴν διαμένοντες.

λα΄. Εἰκάζειν οὖν ἠξίου, τί πέπρακται τούτοις παρὰ τὸν βίον, εἰ τοιαῦτα περὶ τῶν μετὰ τὸν βίον ἐπισκήπτουσι. Τούτους γὰρ εἶναι τοὺς τὸ πολυτελὲς ὄψον ὠνουμένους, καὶ τὸν οἶνον ἐν τοῖς συμπο-

---

κη΄. Τοῦτο μὲν . . . τοῦτο δέ) Ἰδίωμα Ἕλληνος λόγου ἀντὶ τοῦ ἐν ἐνίοις μὲν, ἐν ἐνίοις δέ.

2. Καὶ αὐτὸς εἶδ.) Ἔλεγε πρὸς τοὺς Στωϊκούς φασὶ τὸν λόγον ἀποτείνεσθαι· οὗτοι γὰρ ἦσαν οἱ οὕτω βιοῦντες σκληρῶς.

κθ΄. Τὸν ὠθισμόν) Τὸν παρακγωνισμὸν δηλ. — Τὰς τῶν ἡνιόχ. εἰκ.) Ἔστησαν γὰρ εἰκόνας τῶν ἐπισταμένως ἡνιοχούντων· σὺ δὲ εἰ βούλει ἐννόει τὰς περιγραφὰς τῶν ἐπισταμένως τοῦτο πραξάντων. — Τὰ τῶν ἵπ. ὀνόμ.) Περὶ ὧν Ἰωάν. ὁ Χρυσόστ. ὧδε λέγει. «Καὶ οἱ μὲν πρὸς τὴν θεωρίαν τῆς τῶν ἵππων ἁμίλλης ἐπτοημένοι, καὶ ὀνόματα, «καὶ ἀγέλην, καὶ γένος, καὶ πατρίδα, «καὶ ἀνατροφὴν τῶν ἵππων ἔχουσιν εἰ«πεῖν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἔτι «ζωῆς καὶ ἐνεργείας δρόμων. — Ἐπείληπται) Ἀντὶ ἐπελάβετο· τὸ παθητικὸν ἀντὶ μέσου· οὐ γάρ ἐστι μέσος παρακείμενος· καὶ ἔστιν ἀπὸ μεταφορᾶς τῶν ἀῤῥωστημάτων· οὕτω γοῦν καὶ Ἀλεκτρ. κγ΄. ἦν ποτε κοῦφος πυρετὸς ἐπιλάβηται.

λ΄. Ἵνα μὴ ἀπολ.) Καὶ τοῦτο ποιοῦσιν, ἵνα μὴ ἔχουσι καιρὸν ἀπολαῦσαι τῆς ἀληθείας αὐτῶν· ἀποθανοῦνται γάρ· καὶ οὐκ ἂν ἀπολαύσειαν μετὰ θάνατον τῆς ἀληθείας αὐτῶν.

σίοις μετὰ κρόκων τε καὶ ἀρωμάτων ἐκχέοντας, τοὺς μέσου χει-
μῶνος ἐμπιπλαμένους ῥόδων, καὶ τὸ σπάνιον αὐτῶν καὶ παρά-
καιρον ἀγαπῶντας, τὸ δὲ ἐν καιρῷ, καὶ κατὰ φύσιν, ὡς εὐτελὲς
ὑπερηφανοῦντας· τούτους εἶναι τοὺς καὶ τὰ μύρα πίνοντας· ὃ
καὶ μάλιστα διέσυρεν αὐτῶν, ὅτι μηδὲ χρῆσθαι ἴσασι ταῖς ἐπι-
2 θυμίαις. Ἀλλὰ κἀν ταύταις παρανομοῦσι, καὶ τοὺς ὅρους συγ-
χέουσι, πάντοθεν τῇ τρυφῇ παραδόντες αὐτῶν τὰς ψυχὰς πατεῖν,
καὶ τοῦτο δὲ τὸ ἐν ταῖς τραγῳδίαις τε καὶ κωμῳδίαις λεγόμενον,
3 ἤδη καὶ παρὰ θύραν εἰσβιαζόμενοι. Σολοικισμὸν οὖν ἐκάλει τὸ
τοιοῦτον τῶν ἡδονῶν.

λϐ'. Ἀπὸ δὲ τῆς αὐτῆς γνώμης κἀκεῖνα ἔλεγεν, ἀτεχνῶς τοῦ
Μώμου τὸν λόγον μιμησάμενος· ὡς γὰρ ἐκεῖνος ἐμέμφετο τοῦ ταύ-
ρου τὸν δημιουργὸν θεὸν, οὐ προθέντα τῶν ὀφθαλμῶν τὰ κέρατα,
οὕτω δὴ καὶ αὐτὸς ᾐτιᾶτο τῶν στεφανουμένων, ὅτι μὴ ἴσασι τοῦ
2 στεφάνου τὸν τόπον. Εἰ γάρ τοι, ἔφη, τῇ πνοῇ τῶν ἴων τε καὶ ῥό-
δων χαίρουσιν, ὑπὸ τῇ ῥινὶ μάλιστα ἐχρῆν αὐτοὺς στέφεσθαι,
παρ' αὐτὴν ὡς οἷόν τε τὴν ἀναπνοὴν, ἵν' ὡς πλεῖστον ἀνέσπων
τῆς ἡδονῆς.

λγ'. Καὶ μὴν κἀκείνους διεγέλα, τοὺς θαυμάσιόν τινα τὴν
σπουδὴν περὶ τὰ δεῖπνα ποιουμένους, χυμῶν τε ποικιλίαις καὶ
2 πεμμάτων περιεργίαις. Καὶ γὰρ αὖ καὶ τούτους ἔφασκεν ὀλι-
γοχρονίου τε καὶ βραχείας ἡδονῆς ἔρωτι, πολλὰς πραγματείας
ὑπομένειν. Ὑπέφαινε γοῦν τεσσάρων δακτύλων αὐτοῖς εἵνεκα
πάντα πονεῖσθαι τὸν πόνον, ἐφ' ὅσους ὁ μήκιστος ἀνθρώπου λαι-
3 μός ἐστιν. Οὔτε γὰρ, πρὶν ἐμφαγεῖν, ἀπολαύειν τι τῶν ἐωνη-
μένων, οὔτε βρωθέντων, ἡδίω γενέσθαι τὴν ἀπὸ τῶν πολυτελε-
στέρων πλησμονήν· λοιπὸν οὖν εἶναι τὴν ἐν τῇ παρόδῳ γιγνομέ-
4 νην ἡδονὴν τοσούτων ὠνεῖσθαι χρημάτων. Εἰκότα δὲ πάσχειν
ἔλεγεν αὐτοὺς, ὑπ' ἀπαιδευσίας τὰς ἀληθεστέρας ἡδονὰς ἀγνοοῦν-
τας, ὧν ἁπασῶν φιλοσοφία χορηγός ἐστι τοῖς πονεῖν προαιρου-
μένοις.

---

λα'. Ὑπερηφανοῦν.) Καταφρονοῦντας, ὑπερηφάνως παρερχομένους.

2. Καὶ παρὰ θύραν) Παροιμία ἐπὶ τῶν ἀνεπιτηδείων· ληφθεῖσα μάλιστα, ὡς δοκεῖ, ἀπὸ τῶν ὑποκριτῶν, ὧν εἰσερχομένων εἰς τὴν σκηνὴν διὰ τῆς πύλης τὸ ἔνθυμα ὑπό του ἐπιλαμβάνεται· ὅθεν καὶ τὸ ἐν ταῖς Τραγῳδίαις λεγόμενον.

3. Σολοικισμὸν) Οὐ μόνον ἐν λόγοις ὁ σολοικισμὸς, ἀλλὰ καὶ ἐν ἔργοις.

λϐ'. 2. Ὑπὸ τῇ ῥινὶ) Ἀθήναιος δὲ φησιν Βιϐλ. ΙΕ'. ὅτι «Ὑπόθωμις καὶ Ὑποθυμιάδες στέφανοι παρ' Αἰολεῦσι καὶ Ἴωσιν, οὓς περὶ τοὺς τραχήλους περιετίθεντο· ὡς σαφῶς ἐστι μαθεῖν ἐκ τῆς Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεως.»

— Ἵν' ὡς… ἀνέσπων) Ἀντὶ ἵνα ἀνασπῷεν· ἀλλ' ὁ Ἵνα καὶ πρὸς ὁριστικὸν φέρεται παρῳχημένον.

λγ'. 3. Ἐν ετῇ παρόδ.) Ἐν τῷ εἰς τὸν στόμαχον ἰέναι.

Ε.Λ.Δ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λδ'. Περὶ δὲ τῶν ἐν τοῖς βαλανείοις δρωμένων πολλὰ μὲν διε-
ξῄει, τὸ πλῆθος τῶν ἑπομένων τὰς ὕβρεις, τοὺς ἐπικειμένους τοῖς
οἰκέταις, καὶ μικροῦ δεῖν ἐκφερομένους. Ἓν δέ τι καὶ μάλιστα 2
μισεῖν ἐῴκει, πολὺ δ' ἐν τῇ πόλει τοῦτο καὶ τοῖς βαλανείοις ἐ-
πιχωριάζον. Προϊόντας γάρ τινας τῶν οἰκετῶν δεῖ βοᾶν, καὶ πα-
ραγγέλλειν προορᾶσθαι τοῖν ποδοῖν, ἢν ὑψηλόν τι ἢ κοῖλον μέλ-
λωσιν ὑποβαίνειν, καὶ ὑπομιμνήσκειν αὐτούς, τὸ καινότατον,
ὅτι βαδίζουσι. Δεινὸν οὖν ἐποιεῖτο, εἰ στόματος μὲν ἀλλοτρίου 3
δειπνοῦντες μὴ δέονται, μηδὲ χειρῶν, μηδὲ τῶν ὤτων ἀκούοντες,
ὀφθαλμῶν δὲ ὑγιαίνοντες ἀλλοτρίων δέονται προοψομένων, καὶ ἀ-
νέχονται φωνὰς ἀκούοντες δυστυχέσιν ἀνθρώποις πρεπούσας, καὶ
πεπηρωμένοις. Ταῦτα γὰρ αὐτὰ πάσχουσιν ἐν ταῖς ἀγοραῖς ἡ- 4
μέρας μέσης καὶ οἱ τὰς πόλεις ἐπιτετραμμένοι.

λέ. Ταῦτά τε καὶ πολλὰ ἕτερα τοιαῦτα διελθὼν κατέπαυσε
τὸν λόγον. Ἐγὼ δὲ τέως μὲν ἤκουον αὐτοῦ τεθηπώς, μὴ σιωπήσῃ 2
πεφοβημένος. Ἐπειδὴ δὲ ἐπαύσατο, τοῦτο δὴ τὸ τῶν Φαιάκων
πάθος ἐπεπόνθειν. Πολὺν γὰρ δὴ χρόνον ἐς αὐτὸν ἀπέβλεπον 3
κεκηλημένος· εἶτα πολλῇ συγχύσει καὶ ἰλίγγῳ κατειλημμένος
τοῦτο μὲν ἱδρῶτι κατερρεόμην, τοῦτο δὲ φθέγξασθαι βουλόμενος
ἐξέπιπτόν τε καὶ ἀνεκοπτόμην· καὶ ἥτε φωνὴ ἐξέλιπε, καὶ ἡ γλῶτ-
τα διημάρτανε· καὶ τέλος, ἐδάκρυον ἀπορούμενος. Οὐ γὰρ ἐξ ἐ- 4
πιπολῆς, οὐδ' ὡς ἔτυχεν ἡμῶν ὁ λόγος καθίκετο. Βαθεῖα δὲ καὶ
καίριος ἡ πληγὴ ἐγένετο· καὶ μάλα εὐστόχως ἐνεχθεὶς ὁ λόγος
αὐτήν, εἰ οἷόν τε εἰπεῖν, διέκοψεν τὴν ψυχήν. Εἰ γάρ τι δεῖ κἀμὲ 5
ἤδη φιλοσόφων προσάψασθαι λόγων, ὧδε περὶ τούτων ὑπείληφα.

λς'. Δοκεῖ μοι ἀνδρὸς εὐφυοῦς ψυχὴ μάλα σκοπῷ τινι ἁπαλῷ
προσεοικέναι. Τοξόται δὲ πολλοὶ μὲν ἀνὰ τὸν βίον, καὶ με- 2
στοὶ τὰς φαρέτρας ποικίλων τε καὶ παντοδαπῶν λόγων, οὐ μὴν
πάντες εὔστοχα τοξεύουσιν· ἀλλ' οἱ μὲν αὐτῶν σφόδρα τὰς
νευρὰς ἐπιτείναντες, εὐτονώτερον τοῦ δέοντος ἀφιᾶσι· καὶ ἅπ-
τονται μὲν καὶ οὗτοι τῆς ὁδοῦ, τὰ δὲ βέλη αὐτῶν οὐ μένει ἐν τῷ
σκοπῷ, ἀλλ' ὑπὸ τῆς σφοδρότητος διελθόντα καὶ παροδεύσαντα

---

λδ'. Ἐκφερομένους) Ἐκφορά ἐστιν ἡ εἰς ταφὴν ἔξοδος.

4. Ταῦτα γὰρ αὐ.) Τὸ παρ' ἡμῖν, τὰ ἴδια.

λέ. 2. Τὸ τῶν Φαιάκων) Οἵτινες ἀπορούντες τοῖς λόγοις Ὀδυσσέως, ἔμενον κεχηνότες. Ὁμήρ. Ὀδύσ. Λ. στιχ. 332.

Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.

3. Τοῦτο μὲν . . . τοῦτο δὲ) Ἀντὶ Νῦν μέν, νῦν δέ.

4. Καθίκετ.) Γενικὴ διὰ τὴν Κατά.

5. Ὑπείληφα) Τοιαύτην ἔχω ὑπόληψιν περὶ τῶν φιλοσόφων λόγων.

λς'. 2. Μεστοὶ τὰς φαρέτρας) Ἤτοι ἔχοντες τὰς φαρέτρας πλήρεις ποικιλ. Ἐκ μεταφορᾶς τῶν τοξευόντων ταῦτα περὶ τῶν φιλοσόφων λέγεται.

— Τῆς ὁδοῦ) Τῆς πρὸς τὸν σκοπόν.

Ε.Υ.Α. της Κατ.Π ΙΩΑΝΝΙΝΑ 2006

3 κεχηνυῖαν μόνον τῷ τραύματι τὴν ψυχὴν ἀπέλιπεν. Ἄλλοι δὲ
πάλιν τούτοις ἀπεναντίως· ὑπὸ γὰρ ἀσθενείας τε καὶ ἀτονίας οὐδὲ
ἀφικνεῖται τὰ βέλη αὐτοῖς ἄχρι πρὸς τὸν σκοπόν· ἀλλ' ἐκλυ-
θέντα καταπίπτει πολλάκις ἐκ μέσης τῆς ὁδοῦ· ἣν δέποτε καὶ
ἀφίκηται, ἄκρον μὲν ἐπιλίγδην ἅπτεται, βαθεῖαν δὲ οὐκ ἐρ-
γάζεται πληγήν· οὐ γὰρ ἀπ' ἰσχυρᾶς ἐμβολῆς ἀπεστέλλετο.

λζ. Ὅστις δὲ ἀγαθὸς τοξότης, καὶ τούτῳ ὅμοιος, πρῶτον
μὲν ἀκριβῶς ὄψεται τὸν σκοπὸν, εἰ μὴ σφόδρα μαλακὸς, εἰ μὴ
στεῤῥότερος τοῦ βέλους· γίγνονται γὰρ δὴ καὶ ἄτρωτοι σκοποί.
2 Ἐπειδὰν δὲ ταῦτα ἴδῃ, τηνικαῦτα χρίσας τὸ βέλος οὔτε ἰῷ,
καθάπερ τὰ Σκυθῶν χριέται, οὔτε ὀπῷ, καθάπερ τὰ Κουρήτων,
ἀλλ' ἠρέμα δηκτικῷ τε καὶ γλυκεῖ φαρμάκῳ τοῦτο χρίσας ἀ-
3 τεχνῶς ἐτόξευσε. Τὸ δὲ ἐνεχθὲν εὖ μάλα εὐτόνως, καὶ διακόψαν
ἄχρι τοῦ διελθεῖν, μένει τε, καὶ πολὺ τοῦ φαρμάκου ἀφίησιν. Ὃ
4 δὴ σκιδνάμενον ὅλην ἐν κύκλῳ τὴν ψυχὴν περιέρχεται. Τοῦτό
τοι καὶ ἥδονται καὶ δακρύουσι μεταξὺ ἀκούοντες, ὅπερ καὶ αὐτὸς
ἔπασχον, ἡσυχῇ ἄρα τοῦ φαρμάκου τὴν ψυχὴν περιθέοντος. Ἐ-
5 πῄει δ' οὖν μοι πρὸς αὐτὸν τὸ ἔπος ἐκεῖνο λέγειν,

Βάλλ' οὕτως, αἴ κέν τι φόως ἄνδρεσσι γένηαι.

6 Ὥσπερ γὰρ οἱ τοῦ Φρυγίου αὐλοῦ ἀκούοντες οὐ πάντες μαί-
νονται, ἀλλ' ὁπόσοι αὐτῶν τῇ Ῥέᾳ λαμβάνονται, οὗτοι δὲ πρὸς
τὸ μέλος ὑπομιμνήσκονται τοῦ πάθους, οὕτω δὲ καὶ φιλοσόφων
ἀκούοντες, οὐ πάντες ἔνθεοι καὶ τραυματίαι ἀπίασιν, ἀλλ' οἷς
ὑπῆν τι ἐν τῇ φύσει φιλοσοφίας συγγενές.

λη. Ἑταῖρ. Ὡς σεμνὰ, καὶ θαυμάσια, καὶ θεῖά γε, ὦ ἑταῖρε,
διελήλυθας· ἐλελήθεις τέ με πολλῆς ὡς ἀληθῶς τῆς ἀμβροσίας, καὶ
2 τοῦ λωτοῦ κεκορεσμένος. Ὥστε καὶ μεταξὺ σοῦ λέγοντος ἔπασχόν
τι ἐν τῇ ψυχῇ· καὶ παυσαμένου, ἄχθομαι· καὶ μὴ θαυμάσῃς· οἶσθα
γὰρ ὅτι καὶ οἱ πρὸς τῶν κυνῶν τῶν λυσσώντων δηχθέντες, οὐκ αὐ-

---

φερομένης. — Κεχηνυῖαν) Οὐδὲν ἄλλο ἀ-
πολαύσασαν ἢ τὸ τραῦμα· περὶ τῶν σκλη-
ρᾷ διαίτῃ χρωμένων ὁ λόγος· οἷοι εἰσὶν
οἱ Στωϊκοί.

3. Ἄλλοι δὲ) Τοὺς Ἐπικουρίους ἴσως
ἐννοεῖ· ἢ ἄλλους τινάς. — Ἐπιλίγδην) Ἐκ
τοῦ Ὁμήρου. Ἰλ. Ρ. στίχ. 599.

Ἄκρον ἐπιλίγδην γράψεν δὲ οἱ ὀ-
στέον ἄχρις.

Ὅπερ δηλοῖ οὐ κατὰ βάθος, ἀλλ'
ὡς ἐπιψαῦσαι τρώσαντα ἐξ ἐπιπολῆς τὴν
ἐπιφάνειαν.

λζ. Τούτῳ) Τῷ Νιγρίνῳ.

2. Οὔτε ἰῷ) Τοῦτο τῶν Σκυθῶν τὸ
ἔθος συνεχῶς εὑρήσεις παρὰ Ὀβιδίῳ ἐν
τῇ φυγῇ μεμνημένῳ. — Ὀπῷ) Περὶ τού-
του βέβαιόν τι λέγειν ἐγὼ μὲν οὐκ ἔχω·
ἄλλος δέ τις εἰπάτω.

4. Τοῦτό τοι) Διὰ τοῦτο· κατ' ἔλλει-
ψιν δηλ. — Ἄρα) Ὡς ἔοικε.

5. Βάλλ' οὕτ.) Ὁμήρ. Ἰλ. Θ. στιχ. 282.
Τόνος, ἢ ἦχος παρ' ἡμῖν οὕτω καλούμενος
ᾧ ἐχρῶντο ἐν τοῖς μυστηρίοις Διονύσου
καὶ Ῥέας.

6. Τοῦ Φρυγ.) Τῇ Ῥέᾳ λαμβάνονται.
Καταλαμβάνονται ὑπὸ τῆς Ῥέας μητρὸς
τῶν θεῶν ἔνθεοι δηλαδὴ γενόμενοι.

τοὶ μόνοι λυσσῶσιν, ἀλλὰ κἄν τινας ἑτέρους [καὶ αὐτοὶ] ἐν τῇ μανίᾳ τὸ αὐτὸ τοῦτο διαθῶσι, καὶ αὐτοὶ ἔκφρονες γίγνονται. Συμμεταβαίνει γάρ τι τοῦ πάθους ἅμα τῷ δήγματι, καὶ πολυγονεῖται ἡ νόσος, καὶ πολλὴ γίγνεται τῆς μανίας διαδοχή. —
Λουκ. Οὐκοῦν καὶ αὐτὸς ἡμῖν ἐρᾶν ὁμολογεῖς; — Ἑταῖρ. Πά- 3
νυ μὲν οὖν, καὶ προσέτι δέομαί γέ σου κοινήν τινα τὴν θερα-
πείαν ἐπινοεῖν. — Λουκ. Τὸ τοῦ ἄρα Τηλέφου ἀνάγκη ποιεῖν. 4
— Ἑταῖρ. Ποῖον αὖ λέγεις; — Λουκ. Ἐπὶ τὸν τρώσαντα ἐλθόντας, ἰᾶσθαι παρακαλεῖν.

## Θ'. ΠΕΡΙ ΤΟΥ ΕΝΥΠΝΙΟΥ, ΗΤΟΙ ΒΙΟΣ ΛΟΥΚΙΑΝΟΥ (*).

α'. Ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, ἤδη τὴν
ἡλικίαν πρόσηβος ὤν· ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων,
ὅ,τι καὶ διδάξαιτό με. Τοῖς πλείστοις οὖν ἔδοξε παιδεία μὲν 2
καὶ πόνου πολλοῦ, καὶ χρόνου μακροῦ, καὶ δαπάνης οὐ σμικρᾶς,
καὶ τύχης δεῖσθαι λαμπρᾶς· τὰ δὲ ἡμέτερα μικρά τε εἶναι,

---

Λ. 2. Τὸ αὐτὸ τοῦτο διαθ.) Ἤτοι δάκωσί τινα.

3. Ἡμῖν) Πρὸς τὸ ὁμολογεῖς ἡ δοτική.

5. Τὸ τοῦ Τηλέφου) Τῶν Ἑλλήνων ἀποβάντων εἰς Μυσίαν, καὶ διὰ τὸ ἀγνοεῖν, λεηλατούντων τὴν χώραν ὡς τῆς Τροίας, Τήλεφος ἐκεῖ βασιλεύων τότε, μαχόμενος ἐπλήγη ὑπ' Ἀχιλλέως· φιλιωθέντων δὲ τῶν Μυσίων καὶ Ἑλλήνων, καὶ μὴ ἰωμένης τῆς πληγῆς τοῦ Τηλέφου, ὁ χρησμὸς ἀνεῖπε πρὸς τὸν τρώσαντα ἐλθόντα ἰᾶσθαι παρακαλεῖν. Ἀχιλλεὺς δὲ ἰάσατο αὐτὸν, συνθέμενον δεῖξαι τοῖς Ἕλλησι τὴν εἰς Τροίαν ἄγουσαν. Περὶ τούτου δὲ καὶ Πλούταρχος ἐν τῷ περὶ τοῦ ἀκούειν φησίν. « Οὐ γὰρ μόνον, ὡς » Εὐριπίδης φησὶ τὸ Τηλέφου τραῦμα » πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν, » ἀλλὰ καὶ τὴν ἐκ τῆς φιλοσοφίας ἐμ» φυόμενον εὐφυέσι νέοις δηγμὸν αὐτὸς ὁ » τρώσας λόγος ἰᾶται. «

(*) Ἐνύπνιον ἐπιγέγραπται ὁ λόγος οὗτος, ὡς ἐνύπνιόν τι διηγουμένου τοῦ Λουκιανοῦ. Βίος δὲ, ὡς τὴν ἐξ ἀρχῆς αὐτοῦ κατάστασιν διηγουμένου. Τὸ δέ τοι Ἤτοι ἀντὶ τοῦ Ἢ, ἢ γοῦν ἐπεξηγηματικὸν, ὡς εἰ ἔλεγε. Περὶ τοῦ Ἐνυπνίου τοῦ Λουκιανοῦ ὁ λόγος, μᾶλλον δὲ, ἢ, ἤγουν ὁ βίος τοῦ Λουκιανοῦ πρόκειται εἰς ἀνάγνωσιν. Ἔστι δὲ κατὰ μίμησιν τοῦ Προδίκου μύθου περὶ Ἡρακλέους Ξενοφ. Ἀπομν. Β'. α'. 21. Προτρεπτικὸς δὲ μάλιστά ἐστιν εἰς παιδείαν ὁ λόγος οὗτος, διδάσκων τοὺς νέους παιδείας ἀντέχεσθαι, πράγματος ἀγαθοῦ καὶ πρὸς τὸν βίον χρησίμου.

α'. Ἄρτι μὲν ἐπεπαύμην) Τὸ Ἄρτι παρῳχημένον τι σημαῖνον μὴ πολὺ ἀφεστηκὸς τοῦ ἐνεστῶτος, καὶ τοιούτοις ἔδει χρόνοις συνταχθῆναι· ἤγουν Παρατατικῷ, ἢ Παρακειμένῳ, ἤγουν καὶ Ἀορίστῳ διὰ τὴν ἀόριστον αὐτοῦ ἔκτασιν· καὶ οὐχὶ Ὑπερσυντελικῷ, τῷ ἐπὶ πολὺ ἀφεστηκὸς τοῦ ἐνεστῶτος παρῳχημένον σημαίνοντι. Εἰ μή τις· ἀντὶ Παρακειμένου τῷ συζύγῳ αὐτῷ Ὑπερσυντελικῷ συντετάχθαι εἴποι. — Φοιτῶν) Τὰ παύσεως ἢ λήξεως ῥήματα ἔχουσι μετοχὴν ἐπιφερομένην ἀντὶ προθετοπτώτου ἀπαρεμφάτου, ἤτοι Ἐπεπαύμην φοιτῶν· ἀντὶ ἀπὸ φοιτᾶν. — Τὴν ἡλικίαν πρόσηβος) Κατὰ τὴν ἡλικίαν πρόσηβος. Τὰ γὰρ ἐπίθετα, τὸ μέρος ὁρίζοντα, πρὸς αἰτιατικὴν ἐλλειπτικῶς τῆς Κατὰ ὡς ἐπὶ τὸ πλεῖστον φέρονται. Πρόσηβος δὲ, ὁ πρὸς τοὺς ἐφήβους πλησίον ὤν· οἱ δ' ἔφηβοι ἀπὸ τῶν δεκατεσσάρων ἄρχονται ἐτῶν. — Ὅ,τι καὶ διδάξαιτό με) Εἰς τίνος δηλονότι διδάσκαλον τέχνης ἢ ἐπιστήμης πέμψει με μαθησόμενον.

2. Καὶ τύχης δεῖσθαι λαμπρᾶς) Λαμπρὰν τύχην ἐνταῦθα δοκεῖ λέγειν τὴν λαμπρὰν οὐσίαν. Τοὺς γὰρ πλουσίους καὶ πολλὰς προσόδους ἔχοντας, τούτους καλοῦμεν λαμπροὺς τὴν τύχην. Εἰσὶ δέ τοι καὶ ἄλλα ἐν ἑκάστῃ ἐπιτηδεύσει τὰ τυχηρά· εἴ τις οὖν καὶ ταῦτα ἐννοεῖν βούλοιτο, οὐδὲν κωλύει. — Μικρά τε εἶν.) Ἀπὸ κοινοῦ τὸ, Ἔδοξε τοῖς πλείστοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Γ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006